γὰρ οἱ ἐπιτετραμμένοι εὔχεσθαι ὑπὲρ τοῦ λαοῦ ἀνάξιοι τῆς τοῦ θεοῦ ὑπηρεσίας εὑρεθεῖεν, πῶς ὑπὲρ τῶν τοῦ λαοῦ πλημμελημάτων ἐξιλεοῦσθαι δυνήσονται τὸν θεόν; ὅτι δὲ τὰς χειροτονίας τῶν ἱερέων μετὰ πάσης ἀκριβείας προσήκει γίνεσθαι, διδάσκει ἡμᾶς καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ θεολόγος, ἑπόμενος τοῖς ἁγίοις ἀποστόλοις καὶ τοῖς θείοις κανόσι. λέγει γὰρ ἐν τῷ Μεγάλῳ Ἀπολογητικῷ οὕτως· τίς δὲ τοῖς τοῦ Παύλου κανόσι καὶ ὅροις ἑαυτὸν παρεκτείνων, οὓς περὶ ἐπισκόπων ἔταξε καὶ πρεσβυτέρων, νηφαλέους, σώφρονας εἶναι, μὴ παροίνους, μὴ πλήκτας, διδακτικούς, ἀνεπιλήπτους ἐν ἅπασι καὶ ἀνεπιβάτους τοῖς πονηροῖς, οὐ πολὺ τὸ διαφεῦγον εὑρήσει τὴν τῶν κανόνων εὐθύτητα. καὶ πάλιν ὁ αὐτὸς λέγει οὕτως· καθαρθῆναι δεῖ πρῶτον, εἶτα καθᾶραι, σοφισθῆναι καὶ οὕτως σοφίσαι, γενέσθαι φῶς καὶ φωτίσαι, ἐγγίσαι θεῷ καὶ προσαγαγεῖν ἄλλους, ἁγιασθῆναι καὶ ἁγιάσαι, χειραγωγῆσαι μετὰ χειρῶν, συμβουλεῦσαι μετὰ συνέσεως. καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Γρηγόριος περὶ τῶν αὐτῶν ἐν τῷ αὐτῷ λόγῳ τοῦτο γράφει· τίς ὁ πλάττων, καθάπερ αὐθημερὸν τοὺς πηλίνους, τὸν τῆς ἀληθοῦς λειτουργίας προστάτην, τὸν μετὰ ἀγγέλων στησόμενον καὶ μετὰ ἀρχαγγέλων δοξάσοντα καὶ Χριστῷ συνιερατεύσοντα; καὶ διὰ τούτων μὲν δείκνυσιν ὁ θεολόγος, ὁποίους δεῖ πρὸς τὴν ἱερωσύνην προβάλλεσθαι. περὶ δὲ τῶν ἀναξίως χειροτονουμένων ὁ αὐτὸς τάδε λέγει ἐν τῷ αὐτῷ λόγῳ· οἳ μηδὲν τῇ ἱερωσύνῃ προεισενεγκόντες μηδὲ τοῦ καλοῦ προταλαιπωρήσαντες ὁμοῦ τε μαθηταὶ καὶ διδάσκαλοι τῆς εὐσεβείας ἀναδείκνυνται, καὶ πρὶν καθαρθῆναι καθαίρουσι, χθὲς ἱερόσυλοι καὶ σήμερον ἱερεῖς, χθὲς τῶν ἁγίων ἔξω καὶ μυσταγωγοὶ σήμερον, παλαιοὶ τὴν κακίαν καὶ σχέδιοι τὴν εὐσέβειαν, ὃ ἔργον χάριτος ἀνθρωπίνης, οὐ τῆς τοῦ πνεύματος. ὅτι δὲ οἱ θεῖοι κανόνες κωλύουσι κληρικοὺς εἶναι τοὺς δευτέραν γαμετὴν λαβόντας, καὶ ὁ ἐν ἁγίοις Βασίλειος διδάσκων οὕτως λέγει· τοὺς δευτερογάμους παντελῶς ὁ κανὼν τῆς ὑπηρεσίας ἀπέκλεισε. καὶ ταῦτα μὲν ὁ ἐν ἁγίοις Βασίλειος. τοσοῦτον δὲ οἱ ἅγιοι πατέρες τῆς ἱερωσύνης ἐφρόντισαν, ὅτι οἱ ἐν Νικαίᾳ συνελθόντες κανόνα ἐξέθεντο οὕτως ἔχοντα· ἀπηγόρευσε καθόλου ἡ μεγάλη σύνοδος μήτε ἐπισκόπῳ μήτε πρεσβυτέρῳ μήτε διακόνῳ μήτε ὅλως τῶν ἐν τῷ κλήρῳ τινὶ ἐξεῖναι συνείσακτον ἔχειν, πλὴν εἰ μὴ ἄρα μητέρα ἢ θείαν ἢ ἃ μόνα πρόσωπα ὑποψίαν διαφεύγει.

CAPUT II.

Τοῖς οὖν ὑπὸ τῶν θείων κανόνων ὁρισθεῖσιν ἀκολουθοῦντες τὸν παρόντα ποιούμεθα νόμον, δι' οὗ θεσπίζομεν, ὁσάκις χρεία γένηται ἐπίσκοπον χειροτονηθῆναι, συνιέναι τοὺς κληρικοὺς καὶ τοὺς πρώτους τῆς

c. II in epitomen redactum exhibet Epanagoge 8, 3; *pr.* (— χειροτονοῦντος) *ex B exscripsit Balsamo ad Nomoc. XIV tit.* 1, 23 *p.* 840 *Voell.*

---

digni ministerio dei inveniantur, quomodo pro populi delictis placare deum poterunt? Creationes autem sacerdotum oportere cum omni diligentia fieri docet nos etiam Gregorius theologus inter sanctos habitus sanctos apostolos sacrosque canones secutus. Ita enim dicit in magno Apologetico: quis autem qui ad canones et Pauli se regulas dirigat, quas de episcopis et presbyteris statuit, ut sobrii sint, casti, non vinolenti, non percussores, ad docendum idonei, integri in omnibus rebus, et ab improborum commercio remoti, non multum esse quod recedat a canonum rectitudine comperiet? Et rursus idem sic dicit: purum esse prius oportet, deinde puros facere, sapientem esse atque ita sapientes facere, lucem fieri et illuminare, appropinquare deo et adducere alios, sanctum esse et sanctificare, in viam deducere cum manibus, dare consilium cum prudentia. Et rursus idem in sanctis habitus Gregorius de iisdem in eodem sermone hoc scribit: quis est, qui tamquam figlina uno eodemque die fingat verae liturgiae antistitem, qui cum angelis staturus et cum archangelis laudes praedicaturus et cum Christo sacerdotium gesturus sit? Atque per haec quidem ostendit theologus, quales esse oporteat qui ad sacerdotium promoveantur. De iis vero qui indigne creantur, idem haec dicit in eodem sermone: Qui cum nihil prius suppeditaverint ad sacerdotium, nec prius in virtute laborarint, simul et discipuli et magistri pietatis designantur, et antequam purgati sint alios purgant, heri sacrilegi et hodie sacerdotes, heri a sacris alieni et hodie mysteriorum antistites, veterani malitia et tirones pietate, quod est opus humanae gratiae, non gratiae spiritus. Sacros autem canones prohibere clericos esse eos qui secundam uxorem duxerint etiam in sanctis habitus Basilius docens ita dicit: qui secundum matrimonium contraxerunt, eos omnino canon a ministerio exclusit. Et haec quidem inter sanctos habitus Basilius. Tantam autem curam sancti patres sacerdotio adhibuerunt, ut qui Nicaeae congregati sunt, canonem ediderint, qui ita se habet: vetuit in universum magna synodus, ne liceat aut episcopo aut presbytero aut diacono aut omnino ulli eorum qui in clero sunt secum mulierem habere, nisi forte matrem vel amitam vel eas solas personas quae suspicionem effugiunt.

II. *Sequentes igitur ea quae a sacris canonibus statuta sunt, praesentem legem facimus, per quam sancimus, ut quoties episcopum creari opus sit, clerici et primores civitatis, cuius episcopus creandus est,*

---

4 τοῖς θείοις *CL*] τοῖς *om. M vulg.* ‖ Ἀπολογητικῷ] *Gregor. Naz. apolog.* (*or. II*) *c.* 69 (*Migne Patrol. XXXV col.* 477) ‖ τοῦ *om. Gregor.* ‖ Παύλου] *I Timoth.* 3, 2. 3 (*cf. Tit.* 1, 7 *sq.*) ‖ 5 κανόσι καὶ *C Gregor.*] κανόσιν ἢ *ML* ‖ ἐπ. καὶ πρεσβυτέρων ἔταξε *Gregor.* ‖ 6 νηφαλίους *C, Gregor. v. l.* ‖ ἀλήπτους ἐν πᾶσι καὶ ἀνεπάφους *Gregor.* ‖ 7 τὴν *C Gregor.*] πρὸς τὴν *ML* ‖ 8 ὁ αὐτὸς] *l. c. cap.* 71 (*col.* 479 *Migne*) ‖ δεῖ καθαρθῆναι *C* ‖ πρότερον *L* ‖ 11 Γρηγόριος] *l. c. cap.* 73 (*col.* 481 *Migne*) ‖ 12 τὸν *ante* προστάτην *coll. L* ‖ τῆς θείας λειτουργίας *C* τῆς ἀληθείας *Gregor.* ‖ 13 ἀγγέλλων (*in litura ex* ἄλλων) *L* ‖ δοξάσοντα] δοξάσοντας καὶ ἐπὶ τὸ ἄνω θυσιαστήριον ἀναπέμψοντα τὰς θυσίας *Gregor.* ‖ 14 δεῖ] δὲ *M om. L* ‖ 15 τὴν *om. L* ‖ 15 ἐν τῷ αὐτῷ λόγῳ] *immo in laudatione Athanasii episcopi Alexandrini* (*or. XXI*) *c.* 9 (*l. c. col.* 1089 *Migne*) ‖ προεισενέγκαντες *C v. l.* ‖ 19 ὃ *M C v. l.*] ὧν *C v. l., om. L* ‖ 20 *S. Basilius epist.* 188 (*ad Amphilochium*) *cap.* 12 (*Migne Patrol. XXXII col.* 681) ‖ 21 διγάμους *Basil., C. v. l.* ‖ παντελῶς *C Basil.*] *om. ML* ‖ ἀπέκλεισε *CL Basil.*] ἀπέκλεισε, καὶ τοὺς τικτομένους ἐκ τούτων *M* ‖ 22 κανόνα] *Synodi Nicaen. can.* 3 (*Mansi Concil. coll. II p.* 670) ‖ 23 μήτε ἐπίσκοπον μήτε πρεσβύτερον μήτε διάκονον *C* ‖ 24 τινὶ τῶν ἐν τῷ κλήρῳ *Syn. Nic.* ‖ 25 εἰ μὴ ἄρα μητέρα *C Syn. Nic.*] εἰ ἄρα μητέρα *L* εἰ μὴ ἄρα *M vulg.* ‖ ἢ θείαν] ἢ ἀδελφὴν ἢ θείαν *Syn. Nic.* ‖ ἢ *alterum del. Skutsch* ‖ ἃ] δι' ἃ *C v. l.* ‖ πρόσωπα πᾶσαν ὑποψίαν διαπέφευγε *Syn. Nic.* ‖ 26 νόμον ποιούμεθα *C* ‖ 27 γένηται *CLB* (*cf.* 594, 1)] *om. M*

πόλεως ἧς μέλλει ἐπίσκοπος χειροτονεῖσθαι, καὶ προκειμένων τῶν ἁγίων εὐαγγελίων ἐπὶ τρισὶ προσώποις ψηφίσματα ποιεῖν, καὶ ἕκαστον αὐτῶν ὀμνύναι κατὰ τῶν θείων λογίων, καὶ ἐγγράφειν ἐν αὐτοῖς, ὅτι οὔτε διὰ δόσιν οὔτε διὰ ὑπόσχεσιν ἢ φιλίαν ἢ χάριν ἢ ἄλλην οἱανδήποτε προσπάθειαν, ἀλλ' εἰδότες αὐτοὺς τῆς ὀρθῆς καὶ καθολικῆς πίστεως καὶ σεμνοῦ βίου καὶ ὑπὲρ τὸ τριακοστὸν ἔτος εἶναι, τούτους ἐπελέξαντο, καὶ ὅτι οὔτε γαμετὴν οὔτε παῖδας ἴσασί τινα ἐξ αὐτῶν ἔχειν ἢ παλλακὴν ἢ παῖδας φυσικοὺς γινώσκουσιν αὐτοὺς ἐσχηκέναι ἢ ἔχειν, ἀλλ' εἰ καὶ πρότερόν τις ἐξ αὐτῶν γαμετὴν εἶχε, καὶ αὐτὴν μίαν καὶ οὐδὲ χήραν οὐδὲ ἀνδρὸς ἀποζευχθεῖσαν οὐδὲ τοῖς ἱεροῖς κανόσιν [καὶ νόμοις] ἀπηγορευμένην, ἀλλ' οὐδὲ πολιτευόμενον ἢ ταξεώτην τινὰ τῶν ψηφιζομένων εἶναι γινώσκουσι, πλὴν εἰ μὴ ἐν μοναστηρίῳ οὐχ ἧττον δεκαπέντε ἐνιαυτῶν μοναχικὸν ὁ πολιτευόμενος ἢ ὁ ταξεώτης βίον ἀδιαβλήτως ἐξετέλεσε· δηλαδὴ τῆς ἔμπροσθεν ἡμῖν εἰρημένης παρατηρήσεως καὶ ἐπὶ τούτων τῶν προσώπων ἐν τοῖς γινομένοις περὶ αὐτῶν ψηφίσμασι φυλαττομένης, ἵνα ἐκ τῶν οὕτως ψηφιζομένων τριῶν προσώπων ὁ βελτίων χειροτονηθῇ τῇ ἐπιλογῇ καὶ τῷ κρίματι τοῦ χειροτονοῦντος. ἀπαιτεῖσθαι δὲ πρότερον τὸν μέλλοντα χειροτονεῖσθαι παρὰ τοῦ χειροτονοῦντος λίβελλον μεθ' ὑπογραφῆς ἰδίας περιέχοντα τὰ περὶ τῆς ὀρθῆς αὐτοῦ πίστεως· ἀπαγγέλλειν δὲ τοῦτον καὶ τὴν θείαν προσκομιδὴν τὴν ἐπὶ τῇ ἁγίᾳ κοινωνίᾳ γινομένην καὶ τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι εὐχὴν καὶ τὰς λοιπὰς προσευχάς. ὅρκον δὲ ὑπέχειν καὶ αὐτὸν τὸν χειροτονούμενον κατὰ τῶν θείων γραφῶν, ὡς οὔτε δι' ἑαυτοῦ οὔτε δι' ἑτέρου προσώπου δέδωκέ τι ἢ ὑπέσχετο οὐδὲ μετὰ ταῦτα δώσει ἢ αὐτῷ τῷ χειροτονοῦντι αὐτὸν ἢ τοῖς τὰ ψηφίσματα εἰς αὐτὸν ποιησαμένοις ἢ ἑτέρῳ τῶν πάντων τινὶ ὑπὲρ τῆς εἰς αὐτὸν γενησομένης χειροτονίας. εἴ τις δὲ παρὰ τὴν μνημονευθεῖσαν παραφυλακὴν ἐπίσκοπος χειροτονηθῇ, κελεύομεν καὶ αὐτὸν πᾶσι τρόποις τῆς ἐπισκοπῆς ἐκβάλλεσθαι καὶ τὸν παρὰ ταῦτα τολμήσαντα χειροτονῆσαι.

CAPUT III.

Εἰ δέ τις κατηγορίαν τινὰ ποιήσεται κατὰ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἢ πρεσβυτέρου ἢ διακόνου ἢ ἄλλου κληρικοῦ ἢ καὶ ἡγουμένου ἐφ' οἱαδήποτε αἰτίᾳ, ἀναβαλλέσθω ἡ τοιαύτη χειροτονία, καὶ γινέσθω πρότερον ἐξέτασις τῆς κατηγορίας, παρόντος καὶ τοῦ κατηγόρου καὶ ἐπεξιόντος τοῖς παρ' αὐτοῦ προσαγγελθεῖσιν. εἰ δὲ καὶ ἀπολιμπάνοιτο ἢ ἀναβάλλοιτο ὁ κατήγορος, καὶ οὕτως ὁ τὴν χειροτονίαν μέλλων ποιεῖσθαι ζήτησιν ἀκριβεστάτην ποιείσθω μηνῶν εἴσω τριῶν. καὶ εἰ μὲν ὑπεύθυνον εὕροι τὸν τὴν κατηγορίαν ὑπομείναντα εἴτε κατὰ τοὺς θείους κανόνας εἴτε κατὰ τοὺς ἡμετέρους νόμους, κωλυέσθω ἡ χειροτονία· εἰ δὲ ἀνεύθυνος φανείη εἴτε παρόντος τοῦ κατηγόρου ἢ καὶ ἀπόντος, γινέσθω ἡ χειροτονία. ὁ δὲ κατήγορος, εἴτε παρὼν μὴ ἀποδείξει εἴτε ἀποφύγοι, εἰ μὲν κληρικὸς εἴη, ἐξωθείσθω τοῦ οἰκείου βαθμοῦ, εἰ δὲ λαϊκὸς

v. 3—4 ἀλλ' εἰδότες — ἐπελέξαντο ex B exscripsit Balsamo ad Nomoc. XIV tit. 1, 28 *p.* 848 *Voell., v.* 4 ***argumentum notant** 'Ροπ.* 41, 1, *Nomoc. XIV tit.* 1, 28 *et Nomoc.*[m] *ib.*

***v. 6 sq. argumentum notat** Nomoc. XIV tit.* 1, 23.

c. III summas habet Nomoc. XIV tit. 1, 8. 9, 1 *p.* 466. 538 *Pitra; ipsum caput —* 26 *ἡ χειροτονία ex B repetit Nomoc.*[m] 1, 8. *Argumentum notat B*[s]*K* 8, 1 *p.* 382 *Zach.*

---

conveniant, et propositis sanctis evangeliis de tribus personis decreta faciant, et unusquisque eorum per sancta eloquia iuret, atque in illis scribat se neque propter largitionem neque propter promissionem aut amicitiam aut gratiam aut aliam ullam affectionem eos elegisse, sed cum sciant eos rectae et catholicae fidei atque honestae vitae esse et triginta annis maiores, et scire se neque uxorem neque liberos quemquam ex iis habere, neque concubinam aut liberos naturales se nosse eos habuisse vel habere, sed et si quis eorum prius uxorem habuerit, ipsam quoque unam, et ne viduam quidem neque a viro separatam neque sacris canonibus [et legibus] prohibitam; sed ne curiae quidem nec muneribus addictum aut officialem esse quemquam ex iis qui eliguntur se nosse, nisi in monasterio non minus quindecim annis monachicam vitam curialis aut officialis sine ulla reprehensione transegerit; scilicet observatione quae prius a nobis dicta est etiam in his personis in decretis quae de iis fiunt custodienda: ut ex tribus personis ita electis melior creetur electione et iudicio creantis. Exigatur autem prius ab eo qui creandus est per eum qui creat libellus cum propria eius subscriptione, qui rationem rectae eius fidei comprehendat; pronuntiet vero idem etiam sacram oblationem quae in sancta communione fit, et preces quae fiunt in sancto baptismate ceterasque precationes. Iusiurandum autem ipse quoque qui creatur per sacras scripturas praestet, neque per se neque per aliam personam se quicquam dedisse aut promisisse neque posthac daturum esse aut ipsi qui eum creat aut iis qui decreta pro eo fecerunt, aut alii omnium ulli pro ordinatione in ipsum conferenda facienda. Si quis autem contra observationem modo memoratam episcopus creatus sit, iubemus et ipsum omnibus modis ab episcopatu repelli et eum qui illum contra haec ordinare ausus sit.

III. *Si quis autem accusationem aliquam contra eum qui episcopus aut presbyter aut diaconus aut alius clericus aut etiam praesul monasterii creandus est, qualicumque de causa instituerit, differatur eiusmodi creatio, atque prius fiat examen accusationis, praesente etiam accusatore et quae ab ipso delata sunt exequente. Quodsi etiam accusator rem destituat vel exequi differat, sic quoque is qui creationem facturus est diligentissimam quaestionem intra tres menses instituat. Et si quidem eum qui accusationem subiit sive secundum sacros canones sive secundum leges nostras reum invenerit, prohibeatur creatio, sin vero innoxius apparuerit sive praesente accusatore sive etiam eo absente, fiat creatio. Accusator autem, sive praesens non probaverit sive destituerit accusationem, si quidem clericus sit, de proprio gradu depel-*

---

2 *λόγων B*[f] ‖ *οὐδὲ L Epan.* ‖ 3 *οὐδὲ L*[b] ‖ *διὰ om. L Epan.* ‖ 4 *τούτους εἶναι Epan.* ‖ *οὔτε B*] *οὐδὲ MCL* ‖ 5 **οὐδὲ MCL οὐδὲ παῖδας — αὐτῶν om. B* ‖ *τινὰς C Epan.* ‖ *ἔχειν*] *εἶναι C* ‖ *παλακὴν C v. l.* ‖ *αὐτοὺς MLB*] *αὐτὸν C* (*cf.* 594, 14) ‖ 7 *οὐδὲ τοῖς ἱεροῖς κανόσιν CL Epan.*] *οὐδὲ τοῖς ἱεροῖς κανόσιν καὶ νόμοις M οὐδὲ τοῖς νόμοις οὐδὲ τοῖς ἱεροῖς κανόσιν* (*ex* 594, 17) *B* (*τοῖς κανόσιν ἤτοι τοῖς νόμοις μὴ ἀπηγορευμένην Theod.*) ‖ *πολιτευόμενον CL Ath.*] *βουλευτὴν L s. v., B πολιτευόμενον ἢ βουλευτὴν M ex p.* 594, 18 ‖ 8 *εἶναι om. C* ‖ *μοναχικῶς C* ‖ 9 *ὁ ταξεώτης*] *ὁ om. C v. l., B Ath.* ‖ 10 *περὶ αὐτῶν ψηφίσμασι περὶ αὐτῶν L* ‖ *οὕτως αἱρουμένων ψηφιζομένων C* ‖ 12 *τὸν μέλλοντα χειροτονεῖσθαι om. B*[f] ‖ 13 *τὰ om. C Epan.* ‖ 14 *προσευχάς MC*] *εὐχάς LB* ‖ *ὅρκον C v. l.* ‖ *καὶ om. B*[c] ‖ 15 *κατὰ*] *πρὸς C* ‖ *οὔτε δι' αὐτοῦ ἢ ἑτέρου L* ‖ *δέδωκέ τι*] *δέδωκεν Epan.* ‖ 16 *οὐδὲ C Epan.*] *οὔτε MLB* ‖ 17 *γενησομένης CLB*] *γινομένης M Epan.* ‖ *εἰ δέ τις B* ‖ 18 *χειροτονηθείη C v. l.* ‖ *κελεύομεν om. L* ‖ *καὶ αὐτὸν om. C* ‖ 19 *τολμήσαντα χειροτονεῖν B*[f] *χειροτονῆσαι τολμήσαντα C* ‖ 20 *ποιήσηται B*[f] ‖ *ἐπισκόπου*] *ἢ ἐπισκόπου C plerique* ‖ 21 *καὶ prius om. B* ‖ 22 *γενέσθω C v. l.* ‖ *καὶ τοῦ*] *καὶ om. C* ‖ 23 *καὶ om. B* ‖ *ἀναβάλοιτο M* ‖ 26 *φανῇ B*[c] ‖ *ἢ καὶ*] *εἴτε L* ‖ 27 *παρὸν B*[f] ‖ *ἀποδείξῃ C v. l., B* ‖ *ἀποφύγῃ B*[c]

εἴη, τὸν προσήκοντα σωφρονισμὸν ὑπομενέτω. εἰ δέ τις πρὸ ἐξετάσεως τὸν κατηγορηθέντα χειροτονήσει, ὅ τε χειροτονήσας καὶ ὁ χειροτονηθεὶς τῆς ἱερωσύνης ἐξωθείσθω.

CAPUT IV.

*Ἐπειδὴ δὲ τὸ τοῖς κανόσιν εἰρημένον περὶ τῶν συνόδων τῶν ὁσιωτάτων ἐπισκόπων τῶν ὀφειλουσῶν καθ' ἑκάστην ἐπαρχίαν γίνεσθαι μέχρι τοῦ νῦν * * * * * μὴ παραφυλαχθὲν τῶν ἀναγκαιοτάτων ἐστὶν ἐπανορθῶσαι. οἱ μὲν οὖν ἅγιοι ἀπόστολοι καὶ οἱ πατέρες ὥρισαν δεύτερον ἔτους ἑκάστου γίνεσθαι συνόδους τῶν ὁσιωτάτων ἱερέων ἤτοι ἐπισκόπων ἐν ἑκάστῃ ἐπαρχίᾳ, καὶ τὰ ἀναφυόμενα ἐξετάζεσθαι, καὶ τῆς προσηκούσης ἀξιοῦσθαι διορθώσεως, τουτέστι μίαν μὲν τῇ τετάρτῃ ἑβδομάδι τῆς ἁγίας πεντηκοστῆς, τὴν δὲ ἄλλην κατὰ τὸν Ὀκτώβριον μῆνα. ἡμεῖς δὲ εὑρόντες, ὡς ἐκ τῆς τοιαύτης ἀμελείας πολλοὶ διαφόροις ἁμαρτήμασι περιεβλήθησαν, κελεύομεν πᾶσι τρόποις μίαν σύνοδον γίνεσθαι καθ' ἕκαστον ἔτος ἐν ἑκάστῃ ἐπαρχίᾳ ἢ τῷ Ἰουνίῳ ἢ τῷ Σεπτεμβρίῳ μηνί, καὶ συνιέναι παρὰ μὲν τοῖς μακαριωτάτοις πατριάρχαις ἐκείνους τοὺς παρ' αὐτῶν μὲν χειροτονουμένους μὴ ἔχοντας δὲ δίκαιον ἄλλους ἐπισκόπους χειροτονεῖν, παρὰ δὲ τοῖς ὁσιωτάτοις μητροπολίταις ἑκάστης ἐπαρχίας τοὺς ὑπ' αὐτῶν χειροτονουμένους, ἐφ' ᾧ τὰς κινουμένας αἰτίας ἢ τὰ παρά τινων προσαγγελλόμενα ἢ προφάσει πίστεως ἢ κανονικῶν ζητήσεων ἢ διοικήσεως ἐκκλησιαστικῶν πραγμάτων ἢ περὶ ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων ἢ ἄλλων κληρικῶν ἢ περὶ ἡγουμένων ἢ μοναχῶν, ἢ περὶ κατεγνωσμένου βίου ἢ καὶ ἄλλων τινῶν δεομένων ἐπανορθώσεως κινεῖσθαί τε καὶ προσηκόντως ἐξετάζεσθαι, καὶ τὴν ἐπ' αὐτοῖς διόρθωσιν προϊέναι τοῖς θείοις κανόσι καὶ τοῖς ἡμετέροις νόμοις συμβαίνουσαν.*

CAPUT V.

Μὴ μόνον δὲ ἐν ταῖς καθ' ἕκαστον ἔτος γενησομέναις συνόδοις ταῦτα ζητεῖσθαι, ἀλλὰ καὶ ὁσάκις ἂν τινες κατηγορηθεῖεν τῶν ἱερέων ἢ κληρικῶν ἢ ἡγουμένων ἢ μοναχῶν ἢ περὶ πίστεως ἢ περὶ αἰσχροῦ βίου ἢ ὡς παρὰ τοὺς θείους κανόνας τι διαπραττόμενοι. καὶ εἰ μὲν ἐπίσκοπος εἴη ὁ κατηγορούμενος, τὸν τούτου μητροπολίτην ἐξετάζειν τὰ λεγόμενα, εἰ δὲ μητροπολίτης εἴη, τὸν μακαριώτατον ἀρχιεπίσκοπον ὑφ' ὃν τελεῖ, εἰ δὲ πρεσβύτερος ἢ διάκονος ἢ ἄλλος κληρικὸς ἢ ἡγούμενος ἢ μοναχός, τὸν ὁσιώτατον ἐπίσκοπον ὑφ' ὃν οὗτοι τελοῦσιν ἐξετάζειν τὰ προσαγγελλόμενα, καὶ τῆς ἀληθείας ἀποδεικνυμένης ἕκαστον πρὸς τὸ πταῖσμα
1 *κανονικοῖς ἐπιτιμίοις ὑποβάλλεσθαι τῷ κρίματι τοῦ ἐξετάζοντος. Ταῦτα δὲ πάντα κρατεῖν μὴ μόνον ἐπὶ τῶν μετὰ ταῦτα χειροτονουμένων ἐπισκόπων τε καὶ κληρικῶν καὶ ἡγουμένων, ἀλλὰ καὶ ἐπὶ τῶν νῦν ὄντων καὶ ὑπό τινων ὡς εἰκὸς ἐπί τισιν αἰτίαις ἀπηγορευμέναις τοῖς θείοις κανόσι καὶ τοῖς ἡμετέροις νόμοις κατη-*

c. IV. V pr. ex B repetit Nomoc.^{dm} XIV tit. 8, 8 (ubi citatur νεαρὰ ρκγ'); summarium habet Nomoc. XIV tit. ib.
c. IV. V om. B^{f} praeter c. V, pr. v. 19 Ἐὰν ἐπίσκοπος εἴη — 23 ἐξετάζοντος. c. V pr. (v. 19 Κελεύομεν εἴπερ ἐπίσκοπος εἴη — 23 ἐξετάζοντος ex B repetit Nomoc.^{dm} XIV tit. 9, 1; summarium habet Nomoc. XIV tit. ib. p. 541 Pitra.

---

latur, sin laicus sit, eam quae decet castigationem subeat. Si quis autem reum ante examen institutum ordinaverit, et qui creavit et qui creatus est a sacerdotio expellatur.

IV. *Quoniam vero id quod in canonibus dicitur de sanctissimorum episcoporum synodis, quae in singulis provinciis debent fieri, hucusque * * * * * non observatum ut corrigamus quam maxime necesse est. Sancti igitur apostoli et patres statuerunt, ut bis singulis annis synodi sanctissimorum sacerdotum seu episcoporum in singulis provinciis fierent, et quae emergerent examinarentur et convenienti emendatione potirentur, hoc est una quidem quarta septimana sanctae pentecostes, altera autem mense Octobri. Nos vero cum ex huiusmodi neglegentia multos variis peccatis implicitos esse acceperimus, iubemus omnibus modis unam synodum singulis annis in singulis provinciis fieri aut Iunio aut Septembri mense, et apud beatissimos quidem patriarchas eos convenire, qui ab ipsis creati sunt nec ius habent alios episcopos creandi, apud sanctissimos autem metropolitanos cuiusque provinciae eos qui ab ipsis creati sunt, ut quae moventur causae vel ea quae a nonnullis denuntiantur vel nomine fidei vel canonicarum quaestionum vel administrationis rerum ecclesiasticarum, vel de episcopis aut presbyteris aut diaconis aut aliis clericis aut de praesulibus monasteriorum aut monachis, vel de vita condemnanda vel etiam aliis quibusdam rebus quae correctione indigeant, et agitentur et decenter examinentur, eorumque emendatio procedat sacris canonibus et legibus nostris conveniens.*

V. *Neque vero in synodis tantum per singulos annos instituendis haec quaerantur, sed etiam quoties aliqui ex sacerdotibus vel clericis vel praesulibus monasteriorum vel monachis accusantur sive de fide sive de turpi vita sive quod contra sacros canones quid committant. Et si quidem episcopus sit qui accusatur, metropolitanus eius examinet ea quae proferuntur, sin metropolitanus sit, beatissimus archiepiscopus cui subiectus est, si autem presbyter vel diaconus vel alius clericus vel monasterii praesul vel monachus, sanctissimus episcopus sub quo hi censentur examinet ea quae denuntiantur, et veritate probata*
1 *unusquisque pro delicto suo canonicis poenis subiciatur iudicio examinantis. Haec autem omnia valeant non solum in iis qui post haec creantur episcopis et clericis et praesulibus monasteriorum sed etiam in iis qui nunc sunt et ab aliquibus ut fit ob causas aliquas sacris canonibus et legibus nostris damnatas*

---

1 σωφρονισμὸν ὑπομενέτω] ἤγουν ἐξοριζέσθω L s. v. ‖ χειροτονήσῃ B^{f} ‖ 2 χειροτονήσας] κατηγορήσας χειροτονήσας M^{a} ‖ 3 κανόσιν] *Apostolorum can.* 37; *Synodi Antiochenae can.* 20 (*cf. Nomoc. XIV tit.* 8, 8) ‖ 4 μὴ παραφυλαχθὲν MCL Nomoc.] ἐστὶ μὴ παραφυλαχθὲν B^{c} παραχθὲν (om. μὴ) Nomoc.^{m}, μὴ παρεφυλάχθη *cum Haloandro vulg.*; *hiatum indicavi ita fere supplendum* ⟨ὑπὸ πολλῶν παρημέληται, τὸ⟩ μὴ παραφυλαχθὲν κτλ. (*cf. v.* 8) ‖ ἐπανορθώσασθαι C ‖ 5 οἱ μὲν] ῥητέον ὡς οἱ μὲν Nomoc.^{dm} ‖ οὖν om. C Nomoc.^{dm} ‖ πατέρες] ἅγιοι πατέρες C ‖ ἔτους] τοῦ ἔτους B Nomoc.^{m} ‖ 7 μία M ‖ 8 δὲ εὑρόντες] διευρόντες B^{c}? δὲ om. Nomoc.^{m} ‖ ὡς ante πολλοὶ coll. L ‖ 9 διεβλήθησαν C ‖ πᾶσι] ἐν πᾶσι L Nomoc.^{dm} ‖ σύνοδον om. C v. l. ‖ ἢ τῷ Ἰουνίῳ ἢ τῷ Σεπτεμβρίῳ μηνὶ] κατὰ τὸν Ὀκτώβριον μῆνα Ath. *male ex v.* 8 *repetita* ‖ 11 μὲν om. C ‖ 12 κρινομένας Nomoc.^{m} ‖ τὰ om. Nomoc.^{dm} ‖ 13 προσαγγελλομένας Nomoc.^{dm} ‖ 14 ἢ πρεσβ. (ἢ περὶ πρεσβ. C v. l.) CLB] καὶ πρεσβ. M ‖ κληρικῶν ἄλλων Nomoc.^{dm} ‖ ἢ μοναχῶν] ἢ om. B^{c} ‖ 15 καὶ om. L ‖ τε om. C v. l. ‖ 17 γενομέναις B^{c} ‖ 18 τις CL ‖ κατηγορηθείη C v. l. ‖ ἢ μοναχῶν] ἢ om. B^{c} ‖ ἢ περὶ πίστεως om. Nomoc.^{m} ‖ περὶ αἰσχροῦ MB] περὶ om. CL ‖ 19 τι om. C ‖ διαπραττόμενος C v. l. ‖ καὶ om. C ‖ εἰ μὲν MC] εἴπερ LB ‖ τούτου om. Nomac.^{m} 9, 1 ‖ 20 ἐπίσκοπον Nomoc.^{dm} 9, 1 πατριάρχην B^{c}? ‖ 22 προσαγγελλόμενα] πράγματα Nomoc.^{m} pr. 9, 1 ‖ ἀποδεικνυμένης] ἐξεταζομένης καὶ ἀποδεικνυμένης B^{f} ‖ 23 κανονικῶς L^{b} ‖ ὑποβαλλέσθω Nomoc.^{m} pr. 9, 1 ‖ 24 νυνὶ B^{c} ‖ 25 ὑπό τινων] ὑπὸ om. LB ‖ τοῖς] τῶν τοῖς C v. l. τοῖς τε C v. l.

γουμένων. τούτων γὰρ οὕτω φυλαττομένων καὶ οἱ λαϊκοὶ πολλῆς ἐντεῦθεν περί τε τὴν ὀρθὴν πίστιν καὶ τὸν σεμνὸν βίον προκοπῆς τε καὶ ἐπανορθώσεως ἀξιωθήσονται.

CAPUT VI.

Πρὸς τούτοις κελεύομεν πάντας ἐπισκόπους τε καὶ πρεσβυτέρους μὴ κατὰ τὸ σεσιωπημένον, ἀλλὰ μετὰ φωνῆς τῷ πιστοτάτῳ λαῷ ἐξακουομένης τὴν θείαν προσκομιδὴν καὶ τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι προσευχὴν ποιεῖσθαι, πρὸς τὸ κἀντεῦθεν τὰς τῶν ἀκουόντων ψυχὰς εἰς πλείονα κατάνυξιν καὶ τὴν πρὸς τὸν δεσπότην θεὸν διανίστασθαι δοξολογίαν. οὕτως γὰρ καὶ ὁ θεῖος ἀπόστολος διδάσκει, λέγων ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ· ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμὴν τῷ θεῷ ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ τί λέγεις οὐκ οἶδε. σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ᾽ ὁ ἕτερος οὐκ οἰκοδομεῖται. καὶ πάλιν ἐν τῇ πρὸς Ῥωμαίους οὕτως λέγει· καρδίᾳ μὲν γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. διὰ ταῦτα τοίνυν προσήκει τὴν ἐπὶ τῇ ἁγίᾳ προσκομιδῇ καὶ τὰς ἄλλας προσευχὰς μετὰ φωνῆς παρὰ τῶν ὁσιωτάτων ἐπισκόπων τε καὶ πρεσβυτέρων προσφέρεσθαι τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τῷ θεῷ ἡμῶν σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, γινωσκόντων τῶν ὁσιωτάτων ἱερέων, ὡς εἴπερ τι τούτων παρίδοιεν, καὶ τῇ φοβερᾷ κρίσει τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπολογήσονται καὶ οὐδὲ ἡμεῖς ταῦτα
1 *γινώσκοντες ἐφησυχάσομεν ἢ ἀνεκδίκητα καταλείπομεν. Κελεύομεν δὲ καὶ τοὺς τῶν ἐπαρχιῶν ἄρχοντας, εἴπερ ἀμελούμενόν τι τῶν παρ᾽ ἡμῶν νομοθετηθέντων ἴδοιεν, πρῶτον μὲν κατεπείγειν τοὺς μητροπολίτας καὶ τοὺς ἄλλους ἐπισκόπους τὰς εἰρημένας συνόδους ποιεῖσθαι καὶ πάντα πληροῦν ὅσα περὶ τῶν συνόδων διὰ τοῦ παρόντος παρεκελευσάμεθα νόμου· εἰ δὲ ἀναβαλλομένους αὐτοὺς ἴδοιεν, τηνικαῦτα μηνύειν ἡμῖν πρὸς τὸ ἐξ ἡμῶν τὴν προσήκουσαν διόρθωσιν προϊέναι κατὰ τῶν ὑπερτιθεμένων τὰς συνόδους ποιεῖν. ἐπισταμένων αὐτῶν τε τῶν ἀρχόντων καὶ τῶν πειθομένων αὐτοῖς τάξεων, ὡς εἴπερ μὴ ταῦτα παραφυλάξουσιν, ἐσχάταις*
2 *ὑποβληθήσονται τιμωρίαις. Βεβαιοῦμεν δὲ καὶ διὰ τοῦ παρόντος νόμου ἅπαντα τὰ παρ᾽ ἡμῶν ἐν διαφόροις διατάξεσι νενομοθετημένα περί τε ἐπισκόπων καὶ πρεσβυτέρων καὶ λοιπῶν κληρικῶν καὶ πρός γε ξενοδόχων καὶ πτωχοτρόφων καὶ ὀρφανοτρόφων καὶ τῶν λοιπῶν ὅσοι εὐαγῶν οἴκων προΐστανται.*

⟨Ἐπίλογος.⟩ Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης διὰ προθεμάτων κατὰ τοὺς συνήθεις τόπους τῆς βασιλίδος πόλεως προτιθεμένων εἰς γνῶσιν πάντων ἀγαγεῖν σπουδασάτω καὶ καταφανῆ ποιῆσαι τοῖς τῶν ἐπαρχιῶν ἡγουμένοις. Dat. VII. k. Apr. CP. imp. dn. Iustiniani pp. Aug. anno XXXVIII. post cons. Basilii vc. anno XXIIII. [*a.* 565.]

c. VI pr. ex B repetit Nomoc.[dm] *XIV tit.* 3, 1; *argumentum notat Nomoc. XIV tit. ib.*
§ 1 *summarium habet Nomoc. XIV tit.* 8, 8.

---

accusantur. His enim ita observatis laici quoque magno inde et in recta fide et in honesta vita progressu atque emendatione potientur.

VI. *Praeterea iubemus omnes et episcopos et presbyteros non tacite, sed ea voce quae a fideli populo exaudiatur sacram oblationem precesque in sancto baptismate adhibitas faciant, ut inde quoque audientium animi ad maiorem contritionem et de domino deo praedicationem excitentur. Ita enim sanctus quoque apostolus docet, cum dicat in priore epistola ad Corinthios: namque si benedixeris spiritu, quomodo is qui privati locum obtinet post tuam gratiarum actionem amen deo dicet? quoniam quid dicas nescit. Nam tu quidem bene gratias agis, sed alter non aedificatur. Et rursus in epistola ad Romanos ita dicit: corde enim creditur ad iustitiam, ore autem confessio fit ad salutem. Propterea igitur quae in sacra oblatione fiunt preces ceterasque clara voce per sanctissimos et episcopos et presbyteros offerri par est domino nostro Iesu Christo, deo nostro cum patre et spiritu sancto, sciantque sanctissimi sacerdotes, si quid horum neglexerint, et terribili iudicio magni dei et servatoris nostri Iesu Christi se rationem reddituros, et ne nos quidem haec*
1 *cum comperiamus quiete passuros aut impunita relicturos esse. Iubemus autem etiam provinciarum praesides, si quid eorum quae a nobis sancita sunt neglegi viderint, primum quidem metropolitanos et ceteros episcopos compellere, ut praedictas synodos celebrent atque omnia impleant quaecumque de synodis per praesentem legem praecepimus; quodsi eos moram facere viderint, tunc ad nos referent, ut a nobis conveniens emendatio procedat contra eos qui synodos celebrare differant. Sciantque et ipsi praesides et officia quae*
2 *iis obtemperant, si haec non observaverint, ultimis se suppliciis subiectum iri. Confirmamus autem per praesentem quoque legem omnia quae in diversis constitutionibus et de episcopis et presbyteris et ceteris clericis ac praeterea xenodochis et ptochotrophis et orphanotrophis et ceteris quicumque sacris domibus praesunt a nobis sancita sunt.*

Epilogus. Quae igitur nobis placuerunt et per hanc sacram legem declarantur tua gloria per edicta locis consuetis regiae civitatis proposita ad omnium notitiam perducere et provinciarum praesidibus manifesta facere studeat.

---

1 *γὰρ om. C* ‖ *ὀρθόδοξον C v. l.* ‖ 2 *τε om. C v. l.* ‖ 6 *οὕτως*] *ἐν τούτῳ C* ‖ 7 *πρώτῃ om. Nomoc.*[m] *m.* 1 ‖ *ἐπιστολῇ*] *ἐπιστολῇ οὕτως C. Paulus ad Cor. I* 14, 16. 17 ‖ *ἐὰν*] *μὴ add. L*[2] *s. v.* ‖ *εὐλογήσεις Nomoc.*[m] *εὐλογῇς C* (*idem meliores cod. NT*) ‖ *τῷ πνεύματι*] *ἐν* (*ἐν τῷ v. l.*) *πνεύματι C, τῷ om. NT. codd. meliores* ‖ *ὁ om. Nomoc.*[d] ‖ *ἀναπληροῦν Nomoc.*[m] ‖ 8 *ἐρεῖ*] *εἴποι L* ‖ 9 *Paulus ad Rom.* 10, 10 ‖ 10 *μὲν om. NT libri meliores* ‖ *στόμα M* ‖ *διὰ om. C v. l.* ‖ 11 *εὐχὰς B*[c] ‖ 12 *τε om. L* ‖ *ἡμῶν om. Nomoc.*[dm] ‖ 13 *τῷ ἁγίῳ CL Nomoc.*[dm]] *τῷ om. MB*[f] ‖ *τῶν ὁσιωτάτων ἱερέων om. B*[f] ‖ 15 *καταλείπομεν C v. l.*] *καταλίπωμεν MB*[c], *C v. l., καταλίπομεν C v. l., L Nomoc.*[m] (*καταλιποῦμεν B*[f] *vulg.*) ‖ 17 *ἄλλας L*[a] ‖ *περὶ*] *διὰ C plerique, L* ‖ 18 *νόμους L*[a] ‖ 19 *κατὰ*] *καὶ κατὰ M* ‖ 20 *εἴπερ ταῦτα μὴ παραφυλάξωσιν C* ‖ 21 *τὰ παρ᾽*] *τὰ λοιπὰ παρ᾽ L* ‖ 22 *τάξεσι L, C v. l.* ‖ 23 *καὶ πτωχοτρόφων CL*] *om. M vulg.* ‖ 25 *τόπους C*] *om. ML* ‖ *ἁπάντων L* ‖ 26 *subscr.* dat. VII. k. apr. constan. imp. dn. iust. pp. aug. anno XXXVIII (XXXVIIII *vel* XXXVII *v. l.*) post consulat. basilii uc. anno XXIII (XXII *cod. Vat.* XVI *cod. Monac.*) *C*] *δ. πρὸ ιη′ καλανδῶν Ἀπριλλίου* (*δατ. καλενδ. Ἀπρ. Κωνσταντ. Fabrotus* dat. X. kal. April. Constantinopoli *Leunclavius*) *βασιλείας Ἰουστινιανοῦ τὸ ιθ′ μετὰ τὴν ὑπατείαν Βασιλείου τ. β′* (*ita cod. Par., κδ′ Leunclavius*) *Ath.* d. VII. k. mar. cp. dn. iustin. pp. aug. basil. uc. conss. *M ἐξεφωνήθη μετὰ τὴν ὑπατείαν Βασιλείου τὸ ις′ Theod. Consulatus numerus XXIII postulat imperii annum XXXVII i. e. a.* 564 (*ita vulg.*), *dies VII k. Apr. et imperii annus XXXVIII. in C traditus annum post cons. Basilii XXIV.* (*a.* 565) *quem reposui; cum imperii anno XXXIX. annus post cons. Basilii XXIV. ita demum conciliari potest, ut corrigatur* dat. k. Apr., *quod Bienerum secutus recepit Zachariae; idem datam esse hanc constitutionem, cum Iohannes solium patriarchale ascenderet a.* 565, *non male opinatur.*

CXXXVIII.

DE USURIS SUPER DUPLUM NON CONPUTANDIS.

Imp. Iustinianus pp. Aug. Hermogeni magistro officiorum.

Manifestissima est nostri numinis constitutio, quae usque ad dupli quantitatem exactionem debiti concludit. Si igitur creditores tui quidam in duplum acceperunt, alii adhuc minus consecuti sunt, hi quidem qui in duplum ex usurarum quantitate per diversa tempora consecuti sunt, nullam adversus te inquietudinem proponere concedantur, alii autem, si simili modo repleti fuerint, eo modo silere conpelluntur; et si debita sua consecuti fuerint, feneraticias cautiones recuperari, vel si remanserint, suis viribus vacare, si preces verae sunt, praesentis oraculi sanctione decernimus.

* * * * * * * * * *

Nov. CXXXVIII Latine tantum extat in Appendice Iuliani const. CXXXIII p. 197 *Hänel* (*kp. DLXXXVIII Iul.*[b] *kp. DLXXXIX Iul.*[w] *kp. DLXXXVI Iul.*[v]). — *Epit. Theod.* 138 (*inde L et B* 23, 3, 78. 79 *in.* = *B*[s]*T* 11, 20 *p.* 624 *Zach.*)

ΡΛΘ

ΣΥΓΧΩΡΗΣΙΣ ΠΟΙΝΗΣ ΠΕΡΙ ΤΩΝ ΑΘΕΜΙΤΩΝ ΓΑΜΩΝ.

Ἐν ὀνόματι τοῦ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν Αὐτοκράτωρ Καῖσαρ Φλάβιος Ἰουστινιανὸς Φλώρῳ ⟨κόμητι τῶν θείων πριβάτων⟩.

⟨Προοίμιον.⟩ Ἀνήγαγεν ἡμῖν ἡ σὴ ἐνδοξότης τοὺς ἀπὸ Σινδύος τῆς κώμης καὶ τοὺς Ἑβραίους τῆς ⟨τῶν⟩ Τυρίων γάμους ἀθεμίτους συμβάλλοντας ὑπὸ τὴν θείαν ἡμῶν γενέσθαι διάταξιν, καὶ οὐδὲ τὴν τετάρτην μοῖραν τῆς αὐτῶν διδόναι περιουσίας κατὰ τὰ περὶ τούτου προστεταγμένα, ἤδη δὲ καί τινας ἐξ αὐτῶν τρίτης ἡλικίας καθεστάναι καὶ παίδων εἶναι πατέρας, καὶ διὰ τοῦτο μετὰ δακρύων ἱκετεῦσαι μὴ ἂν ἀναγκασθῆναι νῦν ἀποπέμψαι τὰς γαμετάς, ἀλλὰ καὶ ἔχειν αὐτὰς καὶ τοὺς ἐξ αὐτῶν γενομένους ἢ γενησομένους παῖδας διαδόχους αὐτῶν καθεστάναι, καὶ μηδεμίαν αὐτοὺς ἐντεῦθεν εὐλαβεῖσθαι ποινήν.

CAPUT I.

Θεσπίζομεν τοίνυν ὑπὲρ τῆς τοιαύτης συγχωρήσεως αὐτοὺς δοῦναι ἀνὰ δέκα λίτρας χρυσίου διὰ τὰς ἔμπροσθεν εἰρημένας αἰτίας, αὐτοῖς δὲ καὶ μόνον συγχωρηθῆναι καὶ τὴν μείζονα ποινήν, καὶ ἔχειν αὐτοὺς

Nov. CXXXIX Graece tantum extat in L; in M eius loco nescio quo errore repetitur novellae CXXXIV c. 3 § 1 (*νεαρὰ ρλθ΄: τὰς κατὰ νόμους ἐπιδιδομένας ἐκκλήτους — κρίσεως*). — *Epit. Theod.* 139.

CXXXIX.

REMISSIO POENAE ILLICITARUM NUPTIARUM.

In nomine domini Iesu Christi dei nostri, Imperator Caesar Flavius Iustinianus Floro ⟨comiti sacrarum rerum privatarum⟩.

Praefatio. Rettulit ad nos gloria tua, eos qui habitant pagum Sindyn et Hebraeos urbis Tyri illicitis nuptiis contractis sacrae nostrae constitutioni obnoxios esse, neque tamen secundum ea quae hac de re praecepta sunt, quartam partem substantiae suae dare, iam vero etiam nonnullos ex iis in tertia aetate esse liberorumque patres, ac propterea cum lacrimis supplicasse, ne nunc uxores dimittere cogantur, sed ut et retineant eas et liberi ex iis nati aut nascituri successores sibi existant, neve ullam inde poenam extimescant.

I. *Sancimus igitur, ut pro huiusmodi remissione denas singuli libras auri propter causas ante dictas praebeant, ipsis autem solis maior illa poena remittatur, habeantque tam coniuges quam qui inde*

---

2 *rubr. ρλη΄. Περὶ βασιλικῆς ἑρμηνείας, καὶ περὶ τοῦ τοὺς κατὰ μέρος καταβαλλομένους τόκους* (*ita L, τοὺς καταβαλλομένους τόκους κατὰ μέρος cod. Theod.*) *τὸ διπλοῦν μὴ ὑπερβαίνειν* (*Βασιλικὴ κρίσις περὶ τοῦ εἰς τὸ διπλοῦν ῥέοντος τόκου add. cod. Theod.*) *Theod. νεαρὰ ρλη΄. ἑρμηνεία πῶς οἱ ὑπὲρ τὸ διπλάσιον τόκοι οὐ παρέχονται M* ‖ 3 pp.] perpetuus *Iul.*[v] ‖ Hermogeni magistro] hermogeniano *Iul.*[v] ermogenianus *Iul.*[w] ‖ 4 et *Iul.*[r] ‖ numinis *A. Augustinus*] nominis *libri* ‖ constitutio] *Cod.* 4, 32, 27 § 1 ‖ duplu *Iul.*[b] duplicem *Iul.*[v] ‖ exactionem *P. Pithoeus*] et actionem *libri* ‖ 5 quidam *Iul.*[bv] ‖ 6 quantitatem *Iul.*[bv] ‖ nulla *Iul.*[v] ‖ 7 conpetantur *Iul.*[w] ‖ alio *Iul.*[v] ‖ si *om. Iul.*[w] ‖ fuerunt eum modo sile de re compellentur *Iul.*[v] ‖ 8 debita sua consecuti fuerint, feneraticias cautiones recuperari *Zachariae*] debita subsecuti fuerint, feneratitias (feneratitia *Iul.*[b]) cautiones recuperare (recuperarent *Iul.*[v]) *libri* (debita subsecuta fuerint feneratitia, cautiones recuperare *Hänel*) ‖ remanserit *Iul.*[v] ‖ euacuare *Iul.*[v] ‖ 9 praesenti *Iul.*[v] ‖ oraculis *Iul.*[w] ‖ actione *Iul.*[w] actionem *Iul.*[v] ‖ decernimus] *in libris additur clausula* similis huic constitutioni graeca subsequitur quae iubet in his tantum quae ciuitates mutuantur (mutantur *Iul.*[bv]) locum non habere (locum non habere *om. Iul.*[vw]). *Quae adnotatio ad novellam CLX pertinet* (*cf. Theod. ὑπεξῄρηται δὲ τὸ κείμενον ἐν τῇ ρξ΄ νεαρᾷ περὶ τῶν τόκων τῶν πολιτικῶν χρημάτων*) ‖ 10 *hiatum indicavi, intercidit alterum caput, cuius argumentum servavit Theod. Πᾶσα θεία καὶ βασιλικὴ ἑρμηνεία ἰσχὺν ἔχει νόμου* (*cf. rubr.*) *quae ad adnotationem non recte refert Zachariae* ‖ *antiquius esse hoc rescriptum anno* 536 *ex nov. XXII c.* 46 *pr.* (*p.* 181, 24) *verbis Ἑρμογένην τὸν τῆς ἐνδόξου μνήμης sequitur; ante annum* 535 (*cui adscriptum est a Bienero p.* 526. 533) *datum esse ex novella eius anni CXXI, ubi verbis c.* 1 *καὶ ἔναγχος θεῖον πορίσασθαι τύπον κτλ.* (*p.* 591, 16) *hoc ipsum rescriptum respici videtur, Zachariae efficit, qui varias constitutiones Codicis XV* kal. Dec. 533 *eidem Hermogeni inscriptas esse monet* ‖ 12 *rubr. Περὶ συγχωρήσεως ἀθεμιτογαμιῶν Theod.* ‖ 13 *Ἰησοῦ om. L* ‖ 14 *κόμητι — πριβάτων addidi ex inscr. novellae CLIV* (*cf. nov. XII*) ‖ 15 *τοὺς τυρίων? L*[a] *τῆς τυρίων L*[b], *τῶν add. cum Haloandro vulg.* ‖ 16 *συμβάλοντας L, συμβαλόντας Haloander* ‖ *διάταξιν*] *nov. XII* ‖ 17 *αὐτῶν cum Haloandro vulg.* ‖ *τρίτης Haloander*] *πρώτης L* ‖ 18 *ἱκετεῦσαι Haloander*] *ἱκέτευσαν L* ‖ 19 *γενομένους Haloander*] *γεννωμένους L vulg.* ‖ *γεννησομένοις L* ‖ 21 *αὐτοὺς Haloander*] *αὐτῶν L* ‖ 22 *δὲ Haloander*] *δὴ L*

καὶ τὰς συνοικούσας καὶ τοὺς ἐκεῖθεν τεχθέντας τε καὶ τεχθησομένους ὡς εἰκὸς αὐτοῖς suovs *καὶ διαδόχους· οὐκ εἰς παράδειγμα ἑτέρων τοῦτο παρ' ἡμῶν θεσπισθέν, ἀλλ' εἰδότος ἑτέρου παντός, ὡς εἴ τι τοιοῦτον αἰτήσειε, πρὸς τῷ μηδενὸς τυγχάνειν τῶν αἰτουμένων τήν τε οὐσίαν ἀποβαλεῖ καὶ πρός γε τὰς εἰς τὸ σῶμα ποινὰς ὑποστὰς ἐξορίαν οἰκήσει διηνεκῆ. οὐδεὶς δὲ παρενοχλήσει τοὺς παρ' ἡμῶν ἀξιωθέντας ἰδικῆς φιλοτιμίας οὐδὲ γυναῖκας αὐτῶν ἢ παῖδας ὄντας ἢ ἐσομένους ἢ περιουσίας, οὔτε ἐκ ψήφου τοῦ σοῦ δικαστηρίου οὔτε καθ' ἕτερον οἱονδήποτε τρόπον.*

⟨*Ἐπίλογος.*⟩ *Ἡ τοίνυν σὴ ἐνδοξότης τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα πραγματικοῦ τύπου δύναμιν ἔχοντος καὶ ἰδικῆς ἡμῶν φιλοτιμίας ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω.*

PM

ΩΣΤΕ ΔΥΝΑΣΘΑΙ ΚΑΤΑ ΣΥΝΑΙΝΕΣΙΝ ΛΥΕΙΝ ΤΟΝ ΓΑΜΟΝ.

⟨*Αὐτοκράτωρ Ἰουστῖνος Ἰουλιανῷ ἐπάρχῳ πόλεως.*⟩

⟨*Προοίμιον.*⟩ *Γάμου σεμνότερον ἀνθρώποις οὐδέν ἐστιν, ἐξ οὗ παῖδες καὶ τῶν ἐφεξῆς γενῶν διαδοχαὶ χωρίων τε καὶ πόλεων οἰκήσεις καὶ πολιτείας ἀρίστη σύστασις. διὸ τοὺς γάμους εὐτυχεῖς εἶναι τοῖς συμβάλλουσιν οὕτως εὐχόμεθα, ὡς μήποτε σκαιοῦ δαίμονος ἔργον τούτους γενέσθαι, μηδὲ τοὺς γήμαντας ἀπ' ἀλλήλων χωρίζεσθαι δικαίαν τῆς τοῦ γάμου λύσεως οὐκ ἔχοντας πρόφασιν. ἀλλ' ἐπειδήπερ δύσκολον εἰς πάντας ἀνθρώπους τοῦτο φυλάττεσθαι (ἐν γὰρ πλήθει τοσούτῳ μὴ καί τινας παρεμπίπτειν ἀλόγους δυσμενείας τῶν ἀμηχάνων καθέστηκε), προσήκειν ἐνομίσαμεν τούτου ἐξευρεῖν τινα θεραπείαν, καὶ μάλιστα*

CXL.

UT POSSIT EX CONSENSU DISSOLVI MATRIMONIUM.

Imp. Caesar Flavius Iustinus Alamannicus Gothicus Francicus Alanicus Wandalicus Africanus pius felix gloriosus victor ac triumphator semper colendus Augustus Iuliano praefecto Urbis Constantinopolitanae.

⟨**Praefatio.**⟩ Nuptiis decentius nihil est hominibus, ex quibus filii ceteraeque nationum successiones, fundorum quoque et civitatum habitacula et reipublicae eximius status. Propter quod nuptias felices esse eis qui eas ineunt sic optamus, ita ut numquam eas sinistri ominis opus fieri, neque nuptiis copulatos ab invicem separari iustam non habentes solutionis nuptiarum occasionem. Sed quoniam difficile est in omnibus hominibus hoc servari (in multitudine enim tanta non aliquas incidere inrationabiles simultates unum de inpossibilibus existit), oportere [igitur] putavimus bis reperire quandam medellam, magis vero

Nov. CXL inter Iustini novellas secunda Graece extat in M f. 411 (*f.* 375 *loco nov. CXL notatur* ἡ ρμ' νεαρὰ οὐκ ἐγράφη ὧδε ὡς οὖσα ἰουστίνου τοῦ μετὰ τὸν ἰουστινιανόν, ἐγράφη δὲ μετὰ τὴν συμπλήρωσιν τῶν ἰουστινιανῶν διατάξεων, ἣν καὶ εὑρήσης (*pro* εὑρήσεις) γεγραμμένην). — *Epit. Theod.* 140, *Athan.* 10, 11. *Argumentum notat Nomoc. XIV tit.* 13, 4 *p.* 615 *Pitra.* — *Versionem latinam antiquam exhibet Iul.*ᵖ *in appendice f.* 177ᵛ *ex quo eam edidit Miraeus p.* 190. *Inest etiam in Iuliani Utin. et Trivulz.*

---

et nati sunt et forte nascituri suos et successores; non ad exemplum aliorum hoc sancientes, sed ut ceteri omnes sciant se, si quid eiusmodi petierint, praeterquam quod nihil petitorum impetraturi sint, et bona amissuros et praeterea poenis corporalibus subiectos in perpetuo exilio victuros esse. Nec vero quisquam iis quos speciali liberalitate dignati sumus, aut eorum uxoribus liberisve qui sunt vel futuri sunt aut substantiis sive per sententiam tui iudicii sive alio ullo modo molestiam afferet.

E p i l o g u s. Tua igitur gloria quae nobis placuerunt et per hanc sacram pragmaticam sanctionem, quae etiam specialis liberalitatis nostrae vim habet, declarantur ad opus effectumque adducere studeat.

CXL.

UT MATRIMONIUM EX CONSENSU SOLVI POSSIT.

Imperator Iustinus Iuliano praefecto urbis.

P r a e f a t i o. Matrimonio venerabilius nihil est hominibus, unde existunt liberi et generum deinceps sequentium successiones regionumque et urbium habitationes et optimus rei publicae status. Propterea nuptiae ut contrahentibus ita felices sint exoptamus, ut numquam sinistri daemonis opus fiant, neve coniuges inter se separentur, cum iustam matrimonii solvendi causam non habeant. Verum quoniam difficile est inter omnes homines hoc servare (in tanta enim multitudine fieri nequit quin aliquot etiam insanae simultates incidant), par esse existimavimus huius rei medelam aliquam excogitare idque maxime ubi infirmitas animi adeo

---

1 suovs] suu (*sic ex corr.*) *L, om. cum Haloandro vulg.* ‖ 2 τούτου παρ' ἡμῶν θεσπισθέντος *malit Zachariae sine causa* ‖ 4 ἐξορίᾳ . . . διηνεκεῖ *L, corr. Kroll cl.* 88, 37. *n.CXLVI epil.* ‖ 5 *οὔτε *L* ‖ τοῦ σοῦ δικαστηρίου *L*] τῆς δικαστικῆς *cum Haloandro vulg.* ‖ 8 πραγματικοῦ *ex corr. L* ‖ *constitutionem recentiorem novella XII* (*cf. ad* 11) *aut eidem anno* 535 *aut anno* 536, *quibus annis Flori comitis rerum privatarum in novellis mentio continetur* (*cf. nov. XXII extr. p.* 187, 9) *probabiliter tribuit Biener p.* 534 ‖ 10 *rubr.* Ὥστε — γάμον *M Ath.*] Περὶ τοῦ κατὰ συναίνεσιν λύειν τὸν γάμον *Theod.* ‖ 12 *inscr. om. M, addidi ex Ath.* ‖ Ὁ αὐτοκράτωρ *Ath.* ‖ 16 ἐστὶν ἀνθρώποις οὐδέν *Ath.* ‖ 18 *ἀρίστη *dedi ex Iul.*ᵖ] ἀρίστης *M* ‖ 27 τούτου *Scrimger*] τούτους *M* his *i. e.* τούτοις *Iul.*ᵖ

10 Incipit iustini imp. nouella constitutio ad Iulianum prefectum urbi datā (*sic*) quae ex greca lingua in latinum sermonem translata est Ut possit *etc. cod.* ‖ 12 goticus *cod.* ‖ 18 reipuplice *cod.* ‖ 20 esse] ex *cod.* ‖ 21 ominis] homines *cod.*, numinis *malit Kroll* ‖ 22 solutionis *Osenbrüggen*] absolutionis *m.* 2, absolutionem *m.* 1 *cod.* ‖ 23 occansionem *cod.* ‖ 23 in] et in *cod.* ‖ 26 igitur *del. Miraeus*

ἔνθα τὰ τῆς μικροψυχίας εἰς τοσοῦτον ἀρθείη, ὡς καὶ μῖσος ἀδιάλλακτον ἐγγενέσθαι τοῖς συνοικοῦσι. τὸ μὲν οὖν παλαιὸν ἐξῆν ἀκινδύνως τοὺς τοιούτους ἀπ' ἀλλήλων χωρίζεσθαι κατὰ κοινὴν γνώμην τε καὶ συναίνεσιν τοῦτο πράττοντας, ὥστε καὶ νόμους κεῖσθαι πολλοὺς τοῦτο λέγοντάς τε καὶ διορίζοντας καὶ bona gratia *τὴν οὕτω προϊοῦσαν λύσιν τῶν γάμων τῇ πατρίῳ καλοῦντας φωνῇ. ὕστερον δὲ τῷ τῆς θείας λήξεως γενομένῳ ἡμῶν πατρὶ εὐσεβείᾳ τε καὶ σωφροσύνῃ τοὺς πώποτε βεβασιλευκότας ἅπαντας ὑπερβαλομένῳ, πρὸς τὴν ἑαυτοῦ χρηστήν τε καὶ βεβαίαν ἀποβλέψαντι προαίρεσιν, οὐ μὴν τῆς τῶν ἄλλων ταλαιπώρου τε καὶ μικροψύχου γνώμης στοχασαμένῳ γέγραπται νόμος εἴργων κατὰ συναίνεσιν λύεσθαι τοὺς γάμους· ὃν ἠβουλόμεθα καὶ ἡμεῖς σφόδρα κρατεῖν καὶ μένειν ἐφ' ἑαυτοῦ. πολλοὶ δὲ προσῆλθον ἡμῖν τὸν πρὸς ἀλλήλους γάμον μισοῦντές τε καὶ ἀποστρεφόμενοι, πολέμους τε καὶ μάχας οἴκοι διὰ τοῦτο γενομένους αἰτιώμενοι (τοῦτο ὅπερ λίαν ἐπώδυνον καὶ ἄλλως ἀνιαρὸν καθέστηκε) διαλύειν τε τοῦτον δεόμενοι, κἂν αἰτίας οὐκ εἶχον λέγειν, ἐξ ὧν ἀδεῶς ὁ νόμος ἐδίδου τοῦτο ποιεῖν αὐτοῖς. τὴν δὲ περὶ ταῦτα τούτων ἐπιθυμίαν τε καὶ σπουδὴν ἐπί τινα χρόνον ἀνεβαλλόμεθα, ποτὲ μὲν παραινοῦντες ποτὲ δὲ καὶ ἀπειλοῦντες παύσασθαι τοῦ κατ' ἀλλήλων ἀλόγου μίσους πρὸς ὁμόνοιάν τε χωρεῖν καὶ τῆς καλλίονος γίνεσθαι γνώμης. ἐπράττομεν δὲ πλέον οὐδέν, ἐπεὶ δύσκολον διαλλάξαι τοὺς ἅπαξ ἀλογίστῳ πάθει τε καὶ μίσει κεκρατημένους. ἐνίους γὰρ τούτων συμβέβηκε καὶ πρὸς ἐπιβουλὰς χωρῆσαι κατ' ἀλλήλων, δηλητηρίοις τε καί τισιν ἄλλοις εἰς θάνατον ἄγουσι χρήσασθαι, ὥστε μηδὲ παῖδας αὐτοῖς γενομένους πολλάκις ἰσχύειν εἰς μίαν καὶ τὴν αὐτὴν τούτους γνώμην συνάπτειν.*

illic ubi pusillanimitas in tantum erigitur, ita ut inplacabilis horror fiat coniugibus una manentibus. Antiquitus quidem licebat sine periculo tales ab invicem separari secundum communem voluntatem et consensum hoc agentes, sic ut et plurimae tunc leges extarent hoc dicentes et **b o n a g r a t i a** sic procedentem solutionem nuptiarum patria vocitantes voce. Postea vero divae memoriae nostro patri pietate et temperantia omnes ubicumque aliquando imperantes excedenti visum est, qui ad suam utilem et firmam respiciens voluntatem, non autem miserias pusillanimitatis coniciens, legem sancivit prohibens cum consensu coniugia solvi; quod nos quoque volebamus nimis optinere in hoc ipso. Plurimi autem nos adierunt inter se coniugium horrentes et abominantes et proelia discordiasque propter hoc domi contingere accusantes (hoc quod valde doloriferum et triste consistit), dissolvere propter hoc precantes conubia, vel si occasiones non habuerunt dicere, per quas sine timore hoc lex dabat facere ipsos. Desideria vero et studium eorum pro hac re in aliquanto distulimus tempore, aliquando quidem monentes aliquando vero minantes quiescere eos ab inrationabili circa invicem horrore et ad unanimitatem properare et melioris fieri voluntatis. Agebamus vero plus nihil: quoniam [vero] difficile est inmutare semel detentos inrationabili passione et horrore. Forsitan enim contingit istis et insidias adgredi ad invicem et venenis aliisque ad mortem agentibus uti, ita ut nec filios eis factos valere ad unam similemque tales voluntatem inmiscere.

CAPUT I.

Ταῦτα τοίνυν ἀλλότρια τῶν ἡμετέρων εἶναι κρίναντες χρόνων ἐπὶ τὸν παρόντα θεῖον εἴδομεν νόμον, δι' οὗ θεσπίζομεν ἐξεῖναι κατὰ τὸ παλαιὸν τὰς ἐκ συναινέσεως διαλύσεις ἐπὶ τῶν γάμων ποιεῖσθαι, κρα-

Haec igitur aliena nostris iudicantes temporibus in praesenti sacram constituimus legem, per quam sancimus licere ut antiquitus consensu coniugum solutiones nuptiarum fieri, ⟨non⟩ ultra vero optinere

c. I pr. (Θεσπίζομεν ἐξεῖναι ......) citat schol. B[s] Γ 4, 5 p. 156 Zach.

aucta est, ut vel odio implacabili coniuges imbuerentur. Atque antiquitus quidem licebat sine periculo eiusmodi coniuges inter se separari, qui communi voluntate et consensu hoc agerent, ita ut etiam leges multae latae sint quae hoc dicerent et constituerent, ac nuptiarum solutionem ita procedentem b o n a g r a t i a patria lingua vocarent. Postea autem a patre nostro divinae memoriae, qui pietate et sapientia omnes qui umquam extiterunt imperatores, superavit, cum ad bonum suum et firmum consilium respiceret, nec vero ad ceterorum miseram et infirmam voluntatem intenderet animum, lex scripta est, quae vetat ne ex consensu nuptiae solvantur: quam nos quoque quam maxime voluimus valere et in sua vi manere. Verum multi nos adierunt qui matrimonium inter se contractum aegre ferrent et aversarentur, et propterea bellum et proelia domi ortas esse arguerent (id quod valde triste atque adeo importunum est), utque illud solveretur rogarent, etsi causas, ex quibus impune id iis facere lex concederet, afferre non possent. Atque illorum ea de re desiderium et studium per aliquod tempus distulimus, modo hortantes modo minitantes, ut ab insano quod inter se haberent odio desisterent et ad concordiam redirent et meliorem sententiam amplecterentur. At nihil profecimus, quoniam difficile est conciliare eos qui semel insano affectu et odio tenentur. Contigit enim, ut nonnulli ex iis etiam ad mutuas insidias prodirent, et venenis aliisque rebus quae mortem afferunt uterentur: ut ne liberi quidem forte iis nati in unam eandemque voluntatem eos conciliare valerent.

I. *Haec igitur cum a temporibus nostris aliena esse iudicaremus, ad praesentem sacram legem animum attendimus, per quam sancimus, ut secundum pristinum ius matrimoniorum solutiones ex consensu*

5 *ὥστε καὶ νόμους κεῖσθαι πολλοὺς*] sic ut et plurimae t u n c leges extarent *Iul.*[p] (*i. e. πολλοὺς ⟨τότε⟩ τοῦτο?*) ‖ 6 *τε καὶ διορίζοντας om. Iul.*[p] ‖ *βονα γράτια M* ‖ 12 *τῆς — στοχασαμένῳ*] miserias pusillanimitatis coniciens *Iul.*[p] ‖ 14 *νόμος*] *nov. CXVII c. 8 ss.* ‖ 15 *ὃν*] quod (*i. e. ὃ?*) *Iul.*[p] ‖ 16 *καὶ μένειν om. Iul.*[p] ‖ 20 *ἄλλως om. Iul.*[p] ‖ *διαλύειν τε τοῦτον δεόμενοι*] dissolvere propter hoc precantes conubia *Iul.*[p] ‖ 24 *ἀνεβαλόμεθα M, corr. Scrimger* ‖ 29 *ἐνίους γὰρ τούτων συμβέβηκε*] forsitan enim contingit istis *Iul.*[p] ‖ 32 *πολλάκις om. Iul.*[p] ‖ 33 *τούτους*] tales (*i. e. τοὺς τοιούτους?*) *Iul.*[p] ‖ 35 *ἐπὶ τὸν παρόντα θεῖον εἴδομεν νόμον* (*cf.* 192, 8. *n. CLV c.* 1)] in praesenti sacram constituimus legem *Iul.*[p] ‖ *εἴδομεν Scrimger*] *ἴδωμεν M* ‖ 37 *ἐπὶ om. Iul.*[p]

2 orror *cod.* ‖ 8 diuinae? *m.* 1 *cod.* ‖ nostri patri pietate et temperantia *pr.*, nostri patris pietati et temperantiae *corr. cod.* ‖ 10 excedenti] excede * * * *m.* 1, excedere *m.* 2 *cod.* ‖ utilitatem *cod.*, *corr. Miraeus* ‖ 12 *sancivit prohibens] sancire prohib * * * *m.* 1, sancire prohibuit *m.* 2 *cod.*, sancire qua prohibuit *Pithoeus*, sancire prohibentem *malit Kroll* ‖ concumconcensu *pr. cod.* ‖ 15 habominantes *cod.* ‖ 16 proelia *om. pr. cod.* ‖ 18 *leg.* ⟨et⟩ dissolvere? ‖ 19 quas] qua *pr. cod.* ‖ 20 hoc] quod *cod.* ‖ ipsos] et ipsos *cod.*, ipsis *edd.* ‖ Desiderium *edd.* ‖ 24 orrore *cod.* ‖ 26 *vero *seclusi* ‖ 27 passione] possessione *cod.* ‖ 30 uoluntates *cod.* ‖ 36 consensuales *cod.* (*an* consensu tales? *Kroll*) ‖ 37 non *om. cod.*

τεῖν δὲ μηκέτι τὰς τεταγμένας ποινὰς τῇ διατάξει τοῦ ἡμετέρου πατρὸς ἐπὶ τῶν κατὰ συναίνεσιν τοὺς γάμους διαλυόντων. εἰ γὰρ ἡ ἀμοιβαδὸν διάθεσις τοὺς γάμους συνίστησιν, εἰκότως ἐναντία γνώμη τούτους κατὰ συναίνεσιν διαλύει, τῶν ταύτην δηλούντων στελλο-
1 *μένων διαζυγίων. πρόδηλον δὲ ὡς τὰ ἄλλα πάντα, ὁπόσα τοῖς νόμοις καὶ διαφερόντως ταῖς θείαις [ἡμῶν] διατάξεσι τοῦ ἡμετέρου πατρὸς διηγόρευται περί τε τῶν γάμων καὶ τῶν παίδων καὶ τῶν αἰτιῶν, ἐξ ὧν ἐπιτέτραπται διαλύειν τὸν γάμον, ἢ καὶ λόγου χωρὶς οὐ κατὰ κοινὴν μέντοι γνώμην, καθάπερ ὁ παρὼν ἡμῶν διατάττει θεσμός, τοῦτο πραττόντων, καὶ τῶν διωρισμένων αὐταῖς ποινῶν κρατήσει καὶ ἐκ τοῦ παρόντος ἡμῶν νόμου καὶ διὰ πάντων ἕξει τὴν ἰδίαν ἰσχύν.*

⟨*Ἐπίλογος.*⟩ *Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦ παρόντος θείου δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης τῷ συνήθει τρόπῳ φανερὰ πᾶσι γενέσθαι προσταξάτω κατὰ τὴν βασιλίδα ταύτην πόλιν.* D. XVIII. k. Oct. Chalcedone imp. dn. Iustini pp. Aug. anno I. ind. XV. [*a.* 566.]

constitutas poenas in constitutione nostri patris adversus eos qui cum consensu coniugii faciunt solutionem. Si enim ⟨in⟩ alterutrum adfectus nuptias solidat, ⟨merito⟩ contraria voluntas istas cum consensu dissolvit, adsignificantibus rebus quae nuptias
1 solvunt. Certum autem, ita ut omnia alia quantacumque legibus ac praesertim sacris constitutionibus nostri patris dicta sunt de nuptiis et filiis occasionibusque, ex quibus praecipitur dissolvi nuptias (si et sine ratione, non autem cum communi consensu, secundum quod et praesens nostra constituit divinitas, hoc agentibus et disponentibus poenis interpositis), optinere et ex praesenti nostra lege per omnia habere virtutem propriam.

⟨Epilogus.⟩ Quae ergo nobis visa sunt et per praesentem manifestata legem, tua gloria per consuetum sibi modum omnibus fieri manifesta praecipiat in hac urbe regia. Dat. XVIII. kal. Octob. Calcedone imperatore et consule Iustino pp. Aug. anno primo ind. quinta decima.

ΡΜΑ

ΙΔΙΚΤΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΙΤΑΙΣ ΙΟΥΣΤΙΝΙΑΝΟΥ ΠΕΡΙ ΑΣΕΛΓΑΙΝΟΝΤΩΝ.

⟨*Προοίμιον.*⟩ *Τῆς τοῦ θεοῦ φιλανθρωπίας καὶ ἀγαθότητος ἀεὶ μὲν πάντες δεόμεθα, μάλιστα δὲ νῦν, ὅτε διὰ τὸ πλῆθος τῶν ἡμαρτημένων ἡμῖν πολυτρόπως αὐτὸν παρωργίσαμεν. καὶ ἠπείλησε μὲν καὶ ἔδειξεν ὧν ἄξιοι κατὰ τὰς ἡμετέρας ἁμαρτίας ἐσμέν, ἐφιλανθρωπεύσατο δὲ καὶ ἀνεβάλετο τὴν ὀργὴν ἀναμένων τὴν ἡμετέραν μετάνοιαν, ὡς μὴ βουλόμενος τὸν θάνατον ἡμῶν τῶν ἁμαρτωλῶν, ἀλλὰ τὴν ἐπιστροφὴν καὶ τὴν ζωήν. οὐ δίκαιον οὖν πάντως ἡμᾶς καταφρονῆσαι τοῦ πλούτου τῆς χρηστότητος καὶ τῆς ἀνακωχῆς*

Nov. CXLI Graece tantum extat in ML. — Epit. Theod. 141.

---

fieri liceat, neu amplius poenae valeant constitutione patris nostri de iis qui ex consensu matrimonia solvunt statutae. Nam si mutua affectio matrimonia contrahit, merito eadem contraria sententia ex con-
1 *sensu solvit, repudiis missis quae eam declarent. Manifestum autem est reliqua omnia, quaecumque legibus ac potissimum divinis patris nostri constitutionibus de nuptiis et liberis et causis, ex quibus matrimonium solvere permissum est, vel etiam ubi sine causa nec tamen ex communi sententia, quemadmodum praesens nostra sanctio constituit, hoc faciunt, et de poenis in illos statutis praecepta sunt, per praesentem quoque legem nostram valitura esse et per omnia propriam vim habitura.*

Epilogus. Quae igitur nobis placuerunt et per praesentem sacram legem declarantur tua gloria consueto modo manifesta omnibus fieri iubeat in hac regia civitate.

CXLI.

EDICTUM IUSTINIANI AD CONSTANTINOPOLITANOS DE LUXURIANTIBUS CONTRA NATURAM.

Praefatio. Relatio nobis missa est sublimitatis tuae, qua dicitur non debere ex diversis iudiciis curiales vel officiales aut in hanc felicem civitatem duci litigaturos aut in aliam mitti, saepe autem etiam sacras nostras iussiones proferri quae id velint; ac petiisti, ut sacra pragmatica forma id prohi-

---

3 verum adulterium etiam ‖ 4 fuerint ‖ 5 dandae legitimo ‖ Illo quoque specialiter adiecto, ut ‖ 6 raptoris eligere matrimonium ‖ 11 factum] etiam factum esse ‖ 14 subiecimus poenae ‖ 15 conubium ‖ datis mulieri ‖ 19 accedere iubemus] accipere ‖ 21 ad patrem vel ad matrem] ad parentes ‖ vel si] vel ‖ 23 quam] quae ‖ 24 eorum (earum *l*)] eius ‖ 26 atque] nec non ‖ 27 verum in praeteritis etiam ‖ 28 Leo parens] Areobinde pater ‖ 30 Vale — amantissime *om.*

33 *παραστῆναι L in textu, παρίστασθαι Theod.* ‖ *ἢ διαχθῆναι om. Theod.* ‖ 34 *δίχα ML*] *χωρὶς Theod.* ‖ *κελεύσεως βασιλικῆς ind. Theod.* ‖ *ἐμφανιζομένοις M pr. ἐμφανιζομένην cod. Theod.* ‖ 35 *ταῖς ἐπαρχίαις index M pr.* ‖ 36 *Ἰωάννῃ — πραιτωρίων om. L* (*Ἀρεοβίνδῳ ὑπάρχῳ τῶν πραιτωρίων male Haloander*) ‖ **ὑπάρχῳ M* ‖ 37 *ἐστάλη M*] *ἐπεστάλη L ἀπεστάλη B* ‖ 38 *βουλευτὰς ἢ om. B* (*cf. ad* 727, 1. 5) ‖ *ἑτέρας L* ‖ 39 *ᾔτεις Zachariae*] *ἤ τις B^c εἴ τις L ᾔτησας LB^f* ‖ *θείω καὶ πραγματικῶ L^a*

τύπῳ τοῦτο κωλυθῆναι, ὥστε μηδένα ταξεώτην ἢ βουλευτὴν μήτε ἐξ ἑτέρας εἰς ἑτέραν ἄγεσθαι χώραν μήτε εἰς ταύτην ἕλκεσθαι τὴν εὐδαίμονα πόλιν, εἰ δὲ θεῖαι γένωνται συλλαβαὶ περὶ τούτου, ταύτας ἐμφανεῖς γενέσθαι τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς καὶ ψήφους ἀκολούθους λαμβάνειν.

CAPUT I.

Ἡμεῖς τοίνυν πᾶσαν μὲν ἀγωγὴν καὶ παράστασιν ἀποστρεφόμεθα, εἰ δὲ ἀνάγκη γένοιτο τοιοῦτό τι πραχθῆναι, οὐδενὶ τῶν ἡμετέρων ἀρχόντων πλὴν ἢ τῷ θρόνῳ τῷ σῷ συγχωροῦμεν ταξεώτην ἢ βουλευτὴν εἰς ταύτην ἀγώγιμον ποιεῖν τὴν εὐδαίμονα πόλιν, πλὴν εἰ μὴ θεία κέλευσις ἐπιτρέπουσα τοῦτο ῥητῶς γένοιτο, ἣν προσήκει καὶ τὴν σὴν μανθάνειν ὑπεροχήν, καὶ μὴ παρὰ τὴν σὴν ψῆφον ἀγώγιμον γίνεσθαι αὐτόν, διὰ τὸ λυσιτελὲς τῷ δημοσίῳ, μήποτε ἐντεῦθεν οἱ τὰ δημόσια πράττοντες ἀφελκόμενοι ταύτην λάβοιεν ἀφορμὴν τῆς κατὰ τῶν δημοσίων ἐπηρείας.

⟨Ἐπίλογος.⟩ Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ ἡμῶν δηλούμενα τύπου ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. XVII. ⟨kal. . . . . . .⟩

PNB

ΠΕΡΙ ΤΟΥ ΤΟΥΣ ΕΠΙ ΔΗΜΟΣΙΟΙΣ ΠΡΟΙΟΝΤΑΣ ΘΕΙΟΥΣ ΤΥΠΟΥΣ ΜΗ ΑΛΛΩΣ ΕΡΡΩΣΘΑΙ ΕΙ ΜΗ ΕΓΕΝΟΝΤΟ Η ΓΕΝΟΙΝΤΟ ΚΑΤΑΦΑΝΕΙΣ ΤΟΙΣ ΤΩΝ PRAETORIΩΝ ΕΝΔΟΞΟΤΑΤΟΙΣ ΕΠΑΡΧΟΙΣ ΚΑΙ ΕΚΕΙΘΕΝ ΚΥΡΩΘΕΙΕΝ.

Ὁ αὐτὸς βασιλεὺς Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ πραιτωρίων.

⟨Προοίμιον.⟩ Σπουδάζοντες μετὰ τῆς τοῦ θεοῦ βοηθείας σὺν ἐπιμελείᾳ διοικεῖν τὰ τῆς ἐμπιστευθείσης ἡμῖν πολιτείας παρὰ τοῦ δεσπότου θεοῦ πράγματα, κελεύομεν μὴ ἄλλως ἰσχύειν τύπον περὶ δημοσίων γινόμενον πρὸς τὸν μεγαλοπρεπέστατον δοῦκα ἢ καὶ αὐγουστάλιον ἢ πρὸς τοὺς τῶν ἐπαρχιῶν λαμπροτάτους ἄρχοντας, εἰ μὴ πρότερον ἐμφανισθῇ τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς, τοὺς δὲ μὴ γενομένους καταφανεῖς μηδεμίαν ἰσχὺν ἔχειν. ἄτοπον γὰρ προφάσει δημοσίων γινόμενον θεῖον τύπον μὴ πρότερον τῷ θρόνῳ τῆς σῆς ὑπεροχῆς ἐμφανῆ τοῦτον καθίστασθαι, εἶτα οὕτω καταπέμπεσθαι πρὸς τὸν μεγαλοπρεπέστατον δοῦκα ἢ αὐγουστάλιον ἢ τοὺς λοιποὺς τῶν ἐπαρχιῶν ἄρχοντας. δεῖ γὰρ ἐμφανεῖς γινομένους τοὺς τοιούτους θείους τύπους τῷ θρόνῳ τῆς σῆς ὑπεροχῆς οὕτως καταπέμπεσθαι εἰς τὰς ἐπαρχίας καὶ πέρατι παραδίδοσθαι.

Nov. CLII Graece tantum extat in ML fuit in B 57. 49, 1 *secundum indicem reginae. — Epit. Theod.* 152.

---

beretur, ne ullus officialis vel curialis neve ex alia in aliam provinciam ducatur neve ad hanc felicem urbem trahatur, si vero sacrae hac de re conficiantur litterae, ut eae iudicio tuae sublimitatis insinuentur et decreta congrua accipiant.

I. *Nos igitur quamquam omnem in ius deductionem et exhibitionem aversamur, tamen si quid eiusmodi agi necesse sit, nulli ex magistratibus nostris nisi sedi tuae permittimus ut officialem vel curialem ad hanc felicem urbem duci iubeat, nisi sacra iussio fiat quae id nominatim praecipiat, quam tuam quoque sublimitatem nosse par est, neque contra sententiam tuam illum in ius duci, propter fisci utilitatem, ne forte inde qui publica administrant cum in ius abstrahantur hanc arripiant copiam fraudis faciendae publicis.*

Epilogus. Tua igitur sublimitas quae nobis placuerunt et per hanc sacram formam nostram declarantur ad opus effectumque adducere studeat.

CLII.

NE SACRAE FORMAE QUAE DE PUBLICIS PROCEDUNT ALITER VALEANT NISI SI GLORIOSISSIMIS PRAEFECTIS PRAETORIO INSINUATAE FUERINT VEL INSINUENTUR ET INDE CONFIRMENTUR.

Idem Augustus Iohanni gloriosissimo praefecto Praetorio.

Praefatio. Cum deo auxiliante nobis magna cum diligentia res imperii a domino deo nobis concrediti administrare studeamus, non aliter valere iubemus formam de publicis ad magnificentissimum ducem vel etiam augustalem vel ad clarissimos provinciarum praesides factam, nisi si prius iudicio tuae sublimitatis insinuata sit, quae vero insinuatae non sint nullam vim habere. Absurdum enim est, sacram formam publicarum nomine factam non prius sedi sublimitatis tuae insinuari, atque ita demum ad magnificentissimum ducem vel augustalem vel ceteros provinciarum praesides mitti. Nam eiusmodi sacras formas sedi sublimitatis tuae insinuatas ita demum in provincias mitti et ad effectum duci oportet.

---

1 *ταξεώτην B] μήτε ταξεώτην ML ‖ ἢ βουλευτὴν om. B (cf. ad* 726, 38) ‖ *μήτε* LB^{f}] *μὴ M om.* B^{c} ‖ *ἐξ] ἀφ'* B^{c} ‖ *μήτε B] μηδὲ ML* ‖ 2 *γένονται L* ‖ 3 *ἀκολούθους* MB^{c}] *ἀκολούθως* LB^{f} ‖ 5 *ἢ βουλευτὴν om. B (cf. ad v.* 1) ‖ 6 *εἰ LB] om. M* ‖ 8 *τῷ] τ•* L^{a} ‖ *μήποτε — δημόσια in litura M* ‖ *οἱ] οἷα L* ‖ 10 *epil. om. B* ‖ 11 *subscr. om. Theod.*, dat. XVII *M. Novellam priorem esse generali constitutione quae sequitur (nov. CLII) perspexit Zachariae hanc refingens subscriptionem:* dat. XVII. ⟨k. Jan. CP. dn. Iustiniano pp. Aug. III cos.⟩ *i. e. a.* 533: *quo die etiam const.* Tanta *et Δέδωκεν emissae sunt. Scholion in indice M adscriptum ad nov. CL si huc pertinet (cf. ad* 728, 11), *a.* 534 *data esse statuenda erit* ‖ 13 *rubr. Περὶ τοῦ μὴ ἐρρῶσθαι τὰς περὶ δημοσίων θείας κελεύσεις χωρὶς κυρώσεως τῶν ἐπάρχων Theod.* ‖ *προσιόντας ML, corr. Haloander* ‖ 14 pριῶn *ML* ‖ 15 *ἐπάρχοις index L (cf. Theod.)] ὑπάρχοις ML* ‖ 16 **ὑπάρχῳ ML* ‖ 19 *δοῦκα ἢ καὶ αὐγουστάλιον (cf.* 31)] *ad Aegyptum et Thebaidem superiorem spectat (cf. Hierocles synecd.* 723, 6. 731, 7; *praeterea Edict. XIII c.* 1. 2, *Georgii Cyprii descr. orbis Romani* 710 *p.* 36 *Gelzer; et de Thebaide* C. I. G. 8646) ‖ 22 *ἐμφανῆ —* 25 *ὑπεροχῆς om. L* ‖ *τοῦτον abundare censet Zachariae, nisi legas* 21 *γινομένου θείου τύπου*

CAPUT I.

Εἴ τι τοίνυν μέχρι τοῦ νῦν πρὸς βλάβην τοῦ δημοσίου γέγονε, τοῦτο ἄκυρον εἶναι κελεύομεν, θεσπίζοντες τοῦ λοιποῦ ἕκαστον θεῖον πραγματικὸν τύπον, εἴτε πρὸς τὸν αὐγουστάλιον εἴτε πρὸς τὸν δοῦκα εἴτε πρὸς τοὺς λοιποὺς τῶν ἐπαρχιῶν ἄρχοντας γένοιτο προφάσει δημοσίων, καθὰ εἴρηται, πάντως ἐμφανίζεσθαι τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς, καὶ οὕτως εἰς τὰς ἐπαρχίας πέμπεσθαι προταττόμενον μετὰ προσταγμάτων, καθὰ εἴρηται, τῆς σῆς ὑπεροχῆς. ὥστε ὅσοι μὲν μὴ πρὸς βλάβην γίνοιντο τοῦ δημοσίου θεῖοι τύποι, τούτους καὶ δέχεσθαι καὶ προτάττειν τῶν προσταγμάτων, καὶ πέμπεσθαι παρὰ τῆς σῆς ὑπεροχῆς εἰς τὰς ἐπαρχίας, ἐφ' ᾧ τε πέρατι παραδίδοσθαι· ὅσοι δὲ πρὸς βλάβην τοῦ δημοσίου κατὰ συναρπαγὴν γίνονται, δέχεσθαι μὲν τὴν σὴν ὑπεροχὴν τοὺς τοιούτους θείους τύπους, μὴ πράττειν δὲ τὰ ἐν αὐτοῖς ἐγκείμενα πρὶν ἢ πρότερον εἰς ἡμᾶς ἀνενέγκοι, ἵνα εἴ τι ὡς εἰκὸς πρὸς βλάβην τοῦ δημοσίου γέγονε, τοῦτο ἐπανορθωθῇ. Οἱοσδήποτε τοίνυν θεῖος πραγματικὸς τύπος προφάσει δημοσίων γενόμενος μὴ ἐμφανὴς γένηται τῷ θρόνῳ τῆς σῆς ὑπεροχῆς, τοῦτον ἐν οὐδενὶ χρόνῳ κρατεῖν βουλόμεθα. D. k. Iun. CP. dn. Iustiniano pp. Aug. ⟨IV.⟩ et Paulino vc. coss. [*a.* 534.]

ΡΝΓ

ΠΕΡΙ ΤΩΝ ΧΑΜΕΥΡΕΤΩΝ ΒΡΕΦΩΝ.

Ὁ αὐτὸς βασιλεὺς Ἠλίᾳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τοῦ Ἰλλυρικοῦ.

⟨Προοίμιον.⟩ Ἔγκλημα τῆς ἀνθρωπίνης γνώμης ἀλλότριον καὶ οὐδὲ περὶ πάντων βαρβάρων ἀξιόπιστον Ἀνδρέας ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἀποκρισιάριος τῆς τῶν Θεσσαλονικέων ἁγιωτάτης ἐκκλησίας προσήγγειλεν, ὥς τινες τὰ προϊόντα εὐθὺς ἐκ κοιλίας ἀπορρίπτοντες βρέφη καὶ ἐν ταῖς ἁγίαις αὐτὰ καταλιμπάνοντες ἐκκλησίαις μετὰ τὸ ταῦτα παρὰ τῶν εὐσεβούντων ἀνθρώπων ἀναγωγῆς καὶ τροφῆς ἀξιωθῆναι ἐκδικοῦσι καὶ δούλους προσαγγέλλουσι, καὶ ἐπιθυμοῦσι τῇ οἰκείᾳ ὠμότητι τοῦτο προσθεῖναι, ὥστε οὓς ἐν αὐτοῖς τοῖς τῆς ζωῆς προοιμίοις θανάτῳ παραδεδώκασιν, αὐξήσαντας στερῆσαι τῆς ἐλευθερίας. ἐπειδὴ τοίνυν τὸ τοιοῦτον ἀτόπημα πολλὰ κατὰ ταὐτὸν περιέχει ἐγκλήματα, φόνον τε καὶ συκοφαντίαν καὶ ὅσα ἄν τις ἐν τῇ τοιαύτῃ πράξει εὐκόλως ἀπαριθμήσαιτο, ἔδει τοὺς τὰ τοιαῦτα διαπραξαμένους τὴν ἐκ τῶν νόμων μὴ διαφεύγειν ἐκδίκησιν, ἀλλ' εἰς τὸ τοὺς ἄλλους σωφρονεστέρους γενέσθαι ταῖς ἐσχάταις αὐτοὺς ὑποβληθῆναι ποιναῖς, οἷα ἐκ τῆς ἀναιδείας τῆς ἐναγωγῆς ἴδια ἐγκλήματα προσαγγείλαντας. ὅπερ τοῦ λοιποῦ φυλαχθῆναι θεσπίζομεν.

Nov. CLIII Graece tantum extat in ML, c. 1 *ex* B^s *N* 3, 3 *p.* 517 *Zach. in B* 33, 2, 4. — *Epit. Theod.* 153, *Athan.* 18, 7; *Anonymus Bodleianus* 26 *apud Zachariae Ἀνέκδ. p.* 222.

I. *Si quid igitur hucusque ad detrimentum rei publicae factum est, hoc irritum esse iubemus, sancientes, ut in posterum quaelibet sacra pragmatica forma (sive ad Augustalem sive ad ducem sive ad ceteros provinciarum praesides rerum publicarum nomine, sicuti dictum est, fiat), omnino iudicio sublimitatis tuae insinuetur, atque ita in provincias mittatur praefixa additis praeceptis, uti dictum est, sublimitatis tuae. Itaque quaecumque sacrae formae non ad detrimentum rei publicae fiunt, eas et suscipias et praemittas praeceptis, atque mittantur a sublimitate tua in provincias, ut ad effectum adducantur; quaecumque autem ad detrimentum rei publicae per obreptionem fiunt, eiusmodi quidem sacras formas suscipiat sublimitas tua, neque tamen quae in illis continentur faciat, priusquam ad nos rettulerit, ut si quid forte ad detrimentum rei publicae factum est, id emendetur. Quaecumque igitur sacra pragmatica forma publicorum nomine facta sedi sublimitatis tuae insinuata non fuerit, eam nullo tempore valere volumus.*

CLIII.

DE INFANTIBUS EXPOSITIS.

Idem Augustus Eliae gloriosissimo praefecto Illyrici.

Praefatio. Crimen a sensu humano alienum, et quod ne de barbaris quidem ullis referri fidem habet, Andreas deo carissimus presbyter et apocrisiarius sanctissimae Thessalonicensium ecclesiae nobis nuntiavit, esse qui infantes ex utero prodeuntes statim abiciant et in sanctis ecclesiis eos relinquant, deinde eosdem postquam a piis hominibus educationem et alimenta impetrarint vindicent et servos suos esse pronuntient, atque cupiant suae crudelitati hoc addere, ut quos in ipsis vitae primordiis morti tradiderint, eos adultos privent libertate. Quoniam igitur eiusmodi indignitas multa simul complectitur crimina, caedem et calumniam et quaecumque quis in eiusmodi facinore facile recensuerit, oportebat eos qui haec talia committerent, vindictam ex legibus statutam non effugere, sed quo ceteri moderatiores fierent, extremis poenis subici, quippe qui per impudentiam actionis sua ipsi crimina deferrent. Quod quidem in posterum custodiri iubemus.

---

1 *μέχρι τοῦ νῦν L*] *om. M* ‖ 2 *θεῖον om.* L^a ‖ 4 *προταττόμενον M*] *om. L* ‖ 6 *pro τῶν mavult μετὰ Kroll* ‖ 10 *τοίνυν om. L* ‖ *πραγματικὸς θεῖος L* ‖ *μὴ M*] *εἰ μὴ L* ‖ 11 *subscr. ἐξεφωνήθη μηνὶ ἰουνίῳ ὑπατείᾳ reliquis omissis Theod.* iust. pp. aug. et pa|ulin. M, IV. *add. Zachariae. Scholion in indice M ad nov. CL immerito adscriptum quod p.* 725 *exhibui etsi in promptu est referre ad nov. sequentem CLI* (*cf. ad* 727, 11), *tamen vix dubito quin ad hanc nov. CLII pertineat, ubi de consulatu in illo scholio commemorato ex ipsa codicis M subscriptione constat; accedit quod cum hac subscriptione facilius conciliari potest diei nota in scholio corrupta* $\overline{κα}$ *καὶ* $\overline{κη}$ (*corr. καλ.* iun.?) *quam cum die in subscriptione nov. CLI notato* XVII kal. . . . ‖ 13 *νεαρὰ ρμβ' citatur apud Anon. Bodl. et Ath.* ‖ 14 *rubr. Περὶ χαμευρετῶν Theod.* ‖ 15 *Ἠλίᾳ Ath.* (*cf. ad inscr. nov. CXI p.* 521, 12)] *Μηνᾶ ML* ‖ 16 *γνώσεως Theod.* ‖ **οὔτε ML* ‖ *περὶ M*] *παρὰ L* ‖ 17 *ἁ*ʃ *i. e. ἁγίας L* ‖ 18 *προσήνεγκεν* L^a ‖ **ἀπορρίπτονται M ἀπορίπτονται* (*sim. infra*) *L* ‖ 20 *οὓς M*] *οὖν L, τοὺς Haloander* ‖ 21 *παραδεδωκότας L* ‖ 23 *τὰ τοιαῦτα L*] *αὐτὰ M* ‖ *διαφυγεῖν L* ‖ 24 *εἰς τὸ L*] *ὥστε M* ‖ 25 *προσαγγέλοντας L, προσαγγέλλοντας Haloander* ‖ *θεσπίζωμεν M*

CAPUT I.

Ὅσοι τοίνυν οὕτως ἐν ἐκκλησίαις ἢ ῥύμαις ἢ ἄλλοις τόποις ἀπορριφέντες δειχθῶσι, τούτους πᾶσι τρόποις ἐλευθέρους εἶναι παρακελευόμεθα, κἂν εἰ ἀκριβής τις ἀπόδειξις ὑπάρχοι τῷ ἐνάγοντι εἰς τὸ δεῖξαι τὸ τοιοῦτον πρόσωπον τῇ αὐτοῦ διαφέρειν δεσποτείᾳ. εἰ γὰρ τοῖς ἡμετέροις προστέτακται νόμοις, ὥστε τοὺς νοσοῦντας οἰκέτας παρὰ τῶν δεσποτῶν καταφρονηθέντας καὶ ὡς τῆς αὐτῶν ὑγιείας ἀπελπισθείσης ἐκ τῶν κεκτημένων ἐπιμελείας μὴ ἀξιουμένους πάντως εἰς ἐλευθερίαν ἀναρπάζεσθαι, πῶς ἄρα γε τοὺς ἐν αὐτῇ τῇ τῆς ζωῆς ἀρχῇ τῇ τῶν ἄλλων ἀνθρώπων καταλειφθέντας εὐσεβείᾳ καὶ παρ᾽ αὐτῶν ἀνατραφέντας ἀνεξόμεθα εἰς ἄδικον δουλείαν καθέλκεσθαι; ἀλλὰ τούτοις τόν τε ὁσιώτατον ἀρχιεπίσκοπον τῆς Θεσσαλονικέων καὶ τὴν ὑπ᾽ αὐτὸν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν καὶ τὴν σὴν ἐνδοξότητα βοηθεῖν καὶ τὴν ἐλευθερίαν αὐτοῖς ἐκδικεῖν θεσπίζομεν, μηδὲ τὰς ἐκ τῶν ἡμετέρων νόμων τῶν ταῦτα πραττόντων διαφευγόντων ποινάς, οἷα πάσης ἀπανθρωπίας καὶ ὠμότητος πεπληρωμένων [καὶ] τοσοῦτον πάσης μιαιφονίας χείρονος, ὅσον ταύτην τοῖς ἀθλιωτέροις ἐπάγουσι.

⟨*Ἐπίλογος.*⟩ *Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα τύπου ἥ τε σὴ ἐνδοξότης καὶ ὁ κατὰ καιρὸν τὴν αὐτὴν παραληψόμενος ἀρχὴν καὶ ἡ πειθομένη ὑμῖν τάξις ἔργῳ καὶ πέρατι παραδοῦναι καὶ παραφυλαχθῆναι σπευσάτω. καὶ ποινὴ γὰρ ἐπικείσεται ε̄ χρυσίου λιτρῶν κατὰ τῶν ταῦτα παραβαίνειν ἐπιχειρούντων ἢ παραβαίνεσθαι συγχωρούντων.* Dat. prid. id. Dec. CP. ⟨imp.⟩ dn. Iustiniani pp. Aug. ⟨anno XV.⟩ Basilio vc. cons. [*a.* 541.]

ΡΝΔ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΟΣΡΟΗΝΗ ΑΘΕΜΙΤΩΣ ΣΥΝΑΛΛΑΤΤΟΝΤΩΝ.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Φλώρῳ κόμητι τῶν θείων πριβάτων.

⟨*Προοίμιον.*⟩ *Παράδοξός τις ἦλθεν εἰς ἡμᾶς λόγος, ὡς οἱ κατὰ τὴν μέσην τῶν ποταμῶν καὶ τὴν Ὀσροηνὴν ἐπαρχίαν τολμῶσι γάμοις ἀθεμίτοις ὁμιλεῖν, καὶ τοὺς ῥωμαϊκοὺς παραβαίνουσι νόμους καὶ τὰς ἐν αὐτοῖς ἠπειλημένας ποινὰς τάς τε παλαιὰς καὶ νέας, τοῖς μὲν ἐκ γειτόνων προσέχοντες, εἰς ἀθεμίτους δὲ καὶ*

Nov. CLIV Graece tantum extat in ML (αὕτη ἐξεφωνήθη ὑπὲρ οὗ νόμος οὐκ ἦν schol. M in marg.). — Epit. Theod. 154, *Athan.* 11, 6.

I. *Quoscumque igitur eum in modum in ecclesiis vel vicis vel aliis locis abiectos esse probatum fuerit, eos omnibus modis liberos esse iubemus, etiamsi actori certa aliqua probatio suppetat, qua eiusmodi personam ad suum dominium pertinere ostendat. Nam si legibus nostris praeceptum est, ut servi aegrotantes a dominis neglecti et quasi desperata eorum valetudine a possessoribus curatione digni non habiti omnino in libertatem eripiantur, quo tandem modo eos qui in ipso vitae principio aliorum hominum pietati relicti atque ab iis enutriti sunt in iniustam servitutem trahi patiemur? Verum his et sanctissimum civitatis Thessalonicensis archiepiscopum et sanctam dei ecclesiam sub ipso constitutam et gloriam tuam opem ferre et libertatem iis vindicare sancimus; neve poenas ex legibus nostris statutas effugiant qui haec agunt, utpote qui omni inhumanitate et crudelitate referti sint, quae omni homicidio tanto peior est quanto miserioribus eam inferunt.*

Epilogus. Quae igitur nobis placuerunt et per hanc sacram formam declarantur gloria tua et qui pro tempore eundem magistratum suscepturus est et officium vobis obtemperans ad opus effectumque adducere atque custodire studeat. Etenim poena quinque librarum auri imminebit iis qui haec violare temptent aut violari patiantur.

CLIV.

DE IIS QUI IN OSROENA ILLICITAS NUPTIAS CONTRAHUNT.

Imperator Iustinianus Augustus Floro comiti sacrarum rerum privatarum.

Praefatio. Mirus quidam rumor ad nos pervenit, eos qui Mesopotamiam et Osroenam provinciam incolunt, audere illicitis nuptiis se iungere, atque romanas leges violare et poenas in iis intentatas tam veteres quam novas, qui cum ad vicinarum gentium mores respiciant, in illicitas atque prohibitas nuptias

---

1 *Ὅσοι τοίνυν οὕτως] Θεσπίζομεν ὅσοι B*[s] ‖ *ἢ] ἢ ἐν B*[s] ‖ *ῥύμοις L* ‖ *ἀπορριφθέντες cum Scrimgero vulg.* ‖ *τούτοις L, B*[s] *v. l.* ‖ 2 *ἐλευθέροις B*[s] *v. l.* ‖ *παρακελευόμεθα om. B*[s] *v. l.* ‖ *κἂν εἰ ML] καὶ εἰ, v. l. εἰ καὶ B*[s] ‖ *ὑπάρχει B*[s] ‖ 3 *αὐτοῦ Scrimger* ‖ *προτέτακται B*[s] *v. l.* ‖ *νόμοις] Cod.* 7, 6 § 3 (*cf.* 6, 4, 4 § 2) ‖ 4 *ὡς LB*[s]] *om. M* (*cf. ad seq.*) ‖ *υγείας LB*[s] ‖ *ἐκ] ὡς ἐκ M* ‖ 5 *ἀξιουμένης πάντας M* ‖ *ἀφαρπάζεσθαι B*[s] *v. l.* (*ante hoc voc. littera deleta in M*) ‖ *πῶς ἄρα γε B*[s]] *πόσῳ μᾶλλον ML, quod retineri nequit nisi particula οὐκ ante ἀνεξόμεθα v.* 6 *inserta cum Haloandro et vulg.; an leg. πῶς οὖν μᾶλλον?* ‖ 7 *τούτοις* — 8 *ἐκδικεῖν θεσπίζομεν] τούτους ἐλευθεροῦσθαι θεσπίζομεν B*[s] ‖ *τῆς ML] τῆς τῶν* (*cf.* 728, 17) *coni. Zachariae falso* ‖ 8 *ὑπ᾽ αὐτῶν M* ‖ 9 **μήτε MLB*[s] ‖ 9 *sq. cf. Theod. ὁ καταδουλῶν ἐλεύθερον ταῖς τῶν φονέων ποιναῖς ὑπόκειται* ‖ *διαφευγότων L* ‖ 10 *καὶ seclusi* (*nisi corrigendum τῆς*) ‖ *χεῖρον L*[c] *χείρονας B*[s] *v. l., χειρόνων Haloander* ‖ *ὅσον LB*[s]] *ὅσῳ M* ‖ 13 *ὁ — παραληψόμενος M] ἡ* (*οἱ Haloander*) — *παραληψόμενοι L* ‖ 15 *subscr.* d. pri. i̅s̅ (*sic*) dec. cp. dn. iust. pp. aug. basilio uc. conss. *M δατ. ιδ. Δεκεμβρ. βασιλείας Ἰουστινιανοῦ τὸ ιε΄ ὑπατείας Βασιλείου Ath. ἐξεφωνήθη μηνὶ δεκεμβρίῳ ἔτει ιε΄ ὑπατείᾳ Βασιλείου Theod.* ‖ 18 *rubr. Θεῖος πραγματικὸς τύπος περὶ τῶν ἐν Ὀσροηνῇ καὶ Μεσοποταμίᾳ ἀθέμιτον συναλλαξάντων γάμον Ath.* ‖ *ἐν ὀσροΐνη L, ἐν ὀσρωινῇ cod. Theod., om. index M in lacuna* ‖ *ἀθεμίτως συναλλαττόντων] ἀθεμιτογαμιῶν Theod.* ‖ 20 *Παράδοξός τις] Παραδόξως cit. Ath. Theod.* ‖ 21 *ἐπαρχίας L* ‖ *ἐπ᾽ αὐτοῖς ἠπειλημμένας L*

κεκωλυμένους ἐμπίπτοντες γάμους. ἡμεῖς τοίνυν τούτων μὲν οὐδὲν παντελῶς ἐπιστεύσαμεν· οὐ γὰρ ἡγούμεθα ἀνθρώπους μέρος ὄντας τῆς ἡμετέρας πολιτείας τοιοῦτό τι πράττειν θαρρεῖν καὶ τὴν γονὴν τὴν ἑαυτῶν καταισχύνειν καὶ τὰ ὀνόματα συγχέειν.

CAPUT I.

Ὥστε καὶ ἐξερευνᾶν ταῦτα ἠβουλόμεθα, καὶ εἴ τι τοιοῦτον ὅλως πέπρακται, τοὺς ἁμαρτάνοντας πρὸς ἐσχάτην ἄγειν τιμωρίαν. ἀλλ᾽ ἐπειδὴ καὶ χρόνος ἐστὶ μακρὸς καὶ οὐδὲ πιστεύομεν τοιοῦτό τι γεγενῆσθαι πλημμέλημα, εἰ ἄρα καὶ τοιοῦτό τι συμβέβηκε, τὸ μὲν παρῳχηκός, ὅπως δή ποτε ἂν ἔχοι, συγχωροῦμεν τοῖς τὴν Ὀσροηνὴν καὶ τὴν μέσην τῶν ποταμῶν τὰς ἐπαρχίας κατοικοῦσι, προφάσει τῶν ἐν αὐταῖς γενομένων διαφόρως ἐφόδων, καὶ μάλιστα ἀγροικικοῦ πλήθους ὡς ἐπὶ τὸ πλεῖστον ὄντος τοῦ ταῦτα ἐξαμαρτεῖν λεγομένου, καὶ ἐπὶ τοῦ νῦν σχήματος ἐῶμεν εἶναι, οὐδὲν πολυπραγμονοῦντες τῶν ἄχρι τῆς νεαρᾶς ἡμῶν θείας διατάξεως περὶ τούτου ὡς εἰκὸς πλημμεληθέντων, ἀλλὰ θεσπίζοντες πᾶσαν κωλυθῆναι περὶ τούτου ζήτησιν τοιαύτην κατὰ προσώπων ἢ πραγμάτων διαφερόντων τοῖς ἐν ταῖς αὐταῖς ἐπαρχίαις οἰκοῦσι. μετὰ δὲ τὸν ἡμέτερον νόμον τὸν ἔναγχος περὶ τούτου τεθέντα εἴ τις ἐτόλμησεν ἢ καὶ τολμήσειεν τοιοῦτό τι πρᾶξαι, βουλόμεθα τοῦτον ὑπὸ ποινὰς ἐσχάτας καταστῆναι, εἰδότα ὡς οὐ μέχρι χρηματικῶν στησόμεθα ποινῶν, ἀλλ᾽ αὐτόν τε καὶ γυναῖκα καὶ παῖδας ἐξ ἀθεμίτων γινομένους γάμων μετὰ τὴν ἡμετέραν, ὡς εἴρηται, θείαν διάταξιν μετελευσόμεθα, καὶ τὸν εἰς κεφαλὴν κίνδυνον καὶ τὴν εἰς περιουσίαν αὐτοῖς ποινὴν ἐπιστήσομεν, οὐδενὸς φειδόμενοι οὔτε εἰ μείζονος οὔτε εἰ ἐλάττονος εἴη καταστάσεως ἢ τύχης ἢ ἱερωσύνης (τοῦτο γὰρ ἔτι μᾶλλόν ἐστι δυσκολώτερον), ἀλλὰ πᾶσιν ὁμοίως ἐπεξιόντες τὴν νενομισμένην καὶ τοῖς ῥωμαϊκοῖς πρέπουσαν νόμοις φυλάξομεν εὐταξίαν, οὐ μέρος μόνον τῆς οὐσίας ἀφαιρούμενοι, ἀλλὰ καὶ τὴν οὐσίαν ὅλην καὶ μέρος τοῦ σώματος, καὶ εἴπερ καὶ δυσκολωτέραν εὕρωμεν τὴν ἀθεμιτογαμίαν, καὶ αὐτὴν ἴσως τὴν ψυχήν· οὐδενὸς ἀποφυγεῖν δυναμένου εἰς τὸ τοῖς πέλας ἐν τοῖς πλημμελήμασιν ἀκολουθεῖν. χρὴ γὰρ τὰ ὀρθά τε καὶ προσήκοντα φρονεῖν καὶ τοὺς ἄλλους ἀνιστᾶν εἰς τὸν τοιοῦτον ζῆλον, ἀλλ᾽ οὐκ αὐτοὺς πράττειν παράνομα καὶ εἰς τὴν πρὸς ἀλλήλους καταφεύγειν μίμησιν. ταῦτα τοίνυν φυλάττεσθαι βουλόμεθα ἐπὶ τῶν εἰρημένων ἐπαρχιῶν, τῶν τε πολιτικῶν τῶν τε στρατιωτικῶν ἀρχόντων τοῦτο φυλαττόντων καὶ τὰς ποινὰς ἐπιτίθεσθαι τοῖς ἁμαρτάνουσι παρασκευαζόντων. τοῦτο δὲ αὐτὸ τοῖς τῆς χώρας κατὰ πρόσταξιν σὴν διὰ προγραμμάτων παρὰ τῶν οἰκείων ἀρχόντων γενέσθαι βουλόμεθα φανερόν, εἰ μὴ βούλονται καὶ αὐτοὶ ταῖς ἐσχάταις ὑποβληθῆναι ποιναῖς καὶ ταῖς ἐκπτώσεσι τῶν ἀρχῶν καὶ τῶν οὐσιῶν, εἴ τινος τούτων ἀμελήσειαν.

⟨Ἐπίλογος.⟩ Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα πραγματικοῦ τύπου ἡ σὴ ἐνδοξότης ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. . . . .

---

incidant. Nos igitur horum quidem nihil omnino credidimus: neque enim existimamus homines qui rei publicae nostrae pars sunt eiusmodi quid agere audere atque progeniem suam dedecore afficere et nomina confundere.

I. *Quare et in ea inquirere, et si quid eiusmodi factum esset, delinquentes ad extremum supplicium trahere voluimus. Verum quoniam et longum tempus est neque eiusmodi delictum commissum esse credimus, si tamen quid eius generis contigerit, praeteritum quidem, quocumque se modo habeat, iis qui Osroenam et Mesopotamiam provincias incolunt indulgemus propter invasiones in eas vario modo factas, et maxime quia agrestis multitudo ut plurimum haec delinquere dicitur, idque in ea quae nunc est condicione manere sinimus, cum nihil eorum curiose perscrutemur quae usque ad novellam nostram sacram constitutionem hac in re forte peccata sunt, sed ut omnem huiusmodi de hoc inquisitionem adversus personas et res quae ad incolas earundem provinciarum pertinent prohiberi sanciamus. Post legem vero nostram nuper hac de re latam si quis quid eiusmodi facere ausus fuerit vel etiam audeat, eum extremis suppliciis subici volumus, sciatque is nos in pecuniariis poenis non substituros, sed et ipsum et uxorem et liberos ex illicitis nuptiis natos post nostram, uti dictum est, sacram constitutionem persecuturos esse, et de capite periculum et de bonis poenam iis inflicturos, nulli parcentes nec si maioris nec si minoris sit condicionis aut fortunae aut sacerdotii (hoc enim etiam magis importunum est), sed in omnes pariter animadvertentes solitum et Romanis legibus dignum ordinem esse servaturos, cum non solum substantiae partem auferamus, sed etiam totam substantiam et partem corporis, et si quidem vel importunius contractas deprehenderimus illicitas nuptias, forte etiam ipsam animam: ita ut nemo effugere possit ad vicinorum in peccatis exemplum sequendum. Recta enim et quae decent sapere oportet ceterosque ad talem aemulationem excitare, nec vero ipsos quae contra leges sunt agere et ad mutuam imitationem confugere. Haec igitur custodiri volumus in praedictis provinciis, ut tam civiles quam militares magistratus hoc custodiant efficiantque ut poenae delinquentibus imponantur. Hoc ipsum autem iis qui in provincia sunt ex praecepto tuo a propriis magistratibus per edicta manifestum fieri volumus, nisi ipsi quoque extremis poenis subici velint et administrationum et bonorum amissioni, si quid horum neglexerint.*

Epilogus. Quae igitur nobis placuerunt et per hanc sacram pragmaticam formam declarantur tua gloria ad opus effectumque adducere studeat.

---

2 *μέρη L* ‖ 10 *διατάξεως*] *nov. XII* ‖ 14 *γενομένους cum Haloandro vulg.* ‖ *γάμοις* M^a *L* ‖ 16 *εἰ μείζονος*] *εἰ om. L* ‖ *ἐλάττονες* L^a ‖ *καταστάσεος M* ‖ 17 *ἐπεξιόντος L* ‖ 19 *εἴπερ καὶ*] *καὶ om. L* ‖ *δυσκολώτερα M* ‖ 20 *εἰς τὸ L*] *ἐκ τοῦ M* ‖ *τοῖς πέλας ἐν τοῖς* (*cf.* 729, 22)] *τὰς ποινὰς τοῖς cum Haloandro vulg. male* ‖ 23 *τούτων L* ‖ 24 *τοῖς*] *τῷ L* ‖ *πραγμάτων L* ‖ 26 *ἀμελήσειεν L* ‖ 28 *subscr. om. Ath., Theod.,* dat. *M reliquis omissis; constitutionem recentiorem novella XII* (*cf.* 10. 12. 14) *aut eidem anno* 535 *aut anno* 536, *quibus annis Flori comitis rerum privatarum in novellis mentio continetur* (*cf. nov. XXII extr. p.* 187, 9) *probabiliter tribuit Biener p.* 534; *novella CXXXIX antiquiorem esse ex prooemio conicit Zachariae.*

ΡΝΕ

ΠΕΡΙ ΤΟΥ ΔΕΙΝ ΤΑΣ ΜΗΤΕΡΑΣ ΥΠΟΚΕΙΣΘΑΙ ΕΠΙΤΡΟΠΙΚΟΙΣ ΛΟΓΙΣΜΟΙΣ.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Βελισαρίῳ ⟨στρατηγῷ⟩.

⟨Προοίμιον.⟩ Ἱκετηρίαν ἀνέτεινε Μάρθα ἡ λαμπροτάτη τῷ ἡμετέρῳ κράτει περιέχουσαν, Σεργίου τοῦ τῆς μεγαλοπρεποῦς μνήμης τοῦ αὐτῆς γενομένου πατρὸς τετελευτηκότος καταλειφθῆναι μὲν αὐτὴν κομιδῇ νέαν τὴν ἡλικίαν, τὴν δὲ αὐτῆς κηδεμονίαν ὑπελθεῖν Αὐξεντίαν τὴν λαμπροτάτην αὐτῆς μητέρα, καταθεμένην μὲν ἐν ὑπομνήμασιν ὡς οὐ προσομιλήσει δευτέροις γάμοις, καὶ τὸν ὑπὲρ τούτου διωρισμένον τοῖς ἡμετέροις νόμοις ὅρκον παρασχομένην διοικήσασθαι τὰ πράγματα, τούτων δὲ παρ᾽ αὐτῆς πεπραγμένων, ὥσπερ οὐδέ τινος ὅρκου παρ᾽ αὐτῆς δεδομένου καὶ εὐκαταφρονήτου τῆς καταλελειμμένης ὑπαρχούσης περιουσίας, κατὰ τὴν ὑπ᾽ αὐτῆς γενομένην ἀπογραφὴν μέτριά τινα δηλωθῆναι· μετὰ δὲ ταῦτα γάμον ἑλέσθαι δεύτερον κηδεμόνα Πέτρον αὐτῇ προβαλλομένην, καὶ ἐκ τοῦ δευτέρου συνοικεσίου δύο μὲν ἐσχηκέναι παῖδας, οὐχ ὑγιῶς δὲ πρὸς αὐτὴν ἐσχηκυῖαν τὸν μὲν καταστάντα παρ᾽ αὐτῆς ἐπίτροπον τῆς διοικήσεως ἀποστῆσαι τοῦ τρισκαιδεκάτου μόλις αὐτῆς ἐπιλαμβανομένης ἐνιαυτοῦ, πείθειν δὲ κηδεμόνα τῆς δευτέρας ἡλικίας αἰτῆσαι, καὶ παραυτίκα πείθειν διαλύσεις συγγράψαι πρὸς αὐτὴν καὶ παντὶ λόγῳ δυναμένῳ κατὰ νόμους ἁρμόττειν αὐτῇ προφάσει τῶν τῆς ἐπιτροπῆς λογισμῶν κατὰ τὰς τοιαύτας ἀποτάξασθαι διαλύσεις, ἐν κοιτῶνί τε οὖσαν τηνικαῦτα καὶ τῶν πραττομένων οὐδὲν ἐπισταμένην· οὐδὲ γὰρ οἷόν τε ἦν τὴν παρ᾽ αὐτῇ καθεστῶσαν καὶ πρὸς οὐδένα εἰπεῖν τι δυναμένην περὶ τῶν κατ᾽ αὐτῆς γινομένων, καὶ εἰ τῆς ἐπιγινομένης αὐτῇ βλάβης ᾐσθάνετο, πρᾶξαί τι τῶν δυναμένων κωλῦσαι τὰ πρὸς τὴν αὐτῆς ἐπιβουλὴν μελετώμενα· τοῦ δὲ χρόνου παρασκευάσαντος αὐτὴν καὶ τὸ μελετηθὲν κατ᾽ αὐτῆς αἰσθέσθαι, πρὸς μὲν τὴν μητέρα τισὶ χρήσασθαι παρακλήσεσιν, ὥστε μηδενὶ τῶν κατ᾽ αὐτῆς πραχθέντων ἀποχρήσασθαι, τὰ δὲ πρέποντα μητρὶ περὶ αὐτὴν ἐπιδείξασθαι, καὶ τὴν τῶν πατρῴων αὐτῇ πραγμάτων ἀποκατάστασιν ποιήσασθαι, καθὰ τῷ νόμῳ δοκεῖ· τὴν δὲ τοῖς ἐκ τοῦ δευτέρου γάμου γενομένοις παισὶν ἑαυτὴν ὅλην ἐκδοῦσαν οὐδὲ τοὺς τοιούτους προσίεσθαι λόγους, τοὐναντίον μὲν οὖν καὶ τὴν θείαν ἡμῶν προΐσχεσθαι νομοθεσίαν, περιέχουσαν μὴ δύνασθαι κατ᾽ αὐτῆς τοῖς τῆς ἀποκαταστάσεως χρήσασθαι δικαίοις, οὐδὲν μὲν τοιοῦτον περὶ τῶν μητέρων τῶν ἀναδεξαμένων τὴν τῶν οἰκείων παίδων κηδεμονίαν καὶ δευτέρους ἀσπαζομένων γάμους θεσπίζουσαν, ἐπ᾽ ἄλλοις δέ τισιν ὅροις τε καὶ τρόποις παρὰ τῆς ἡμετέρας εὐσεβείας ἐκφωνηθεῖσαν. καὶ διὰ τοῦτο τὴν ἱκετηρίαν ἡμῖν ἀνέτεινεν, ἐφ᾽ ᾧτε καὶ τὴν διάνοιαν τῆς θείας νομοθεσίας σαφῆ τε καὶ ἀναμφισβήτητον καταστῆσαι, καὶ μὴ τοῖς αὐτῇ περιεχομένοις ἀποχρωμένην Αὐξεντίαν τὴν αὐτῆς μητέρα τὰ καταλειφθέντα ἐκ τοῦ πατρὸς πράγματα κέρδος οἰκεῖον ποιήσασθαι.

Nov. CLV Graece tantum extat in ML, fuit in B 37, 12, 2. — *Epit. Theod.* 155, *Athan.* 13, 3 (*inde passim contracta apud Anon. Bodleianum* 27 *p.* 222 *Zach.*).

CLV.

UT MATRES TUTELAE RATIONIBUS OBNOXIAE SINT.

Imperator Iustinianus Augustus Belisario ⟨magistro militum⟩.

Praefatio. Supplicationem Martha femina clarissima maiestati nostrae obtulit qua continebatur, Sergio magnificae memoriae patre suo defuncto ipsam quidem tenera admodum aetate relictam esse, tutelam autem suam Auxentiam feminam clarissimam matrem suam suscepisse testatione in actis deposita ad secundas se nuptias non venturam, et praestito iureiurando legibus nostris ea de re constituto res administrasse, his autem ab ea gestis, quasi neque iusiurandum ullum ab ea praestitum esset et substantia relicta vilis atque contemnenda esset, pauca quaedam in inventario ab ea confecto notata esse; postea vero secundas eam nuptias amplexam esse tutore sibi Petro designato, atque duos ex secundo matrimonio habuisse liberos, unde cum parum bene adversus se affecta esset, tutorem ab ea institutum ab administratione removisse, cum ipsa vix tertium decimum annum ingressa esset sibique persuasisse ut curatorem secundae aetatis peteret, item ilico persuasisse ut pactionem cum ipsa conscriberet atque omni actioni quae secundum leges tutelae rationum nomine sibi competere posset per talem pactionem renuntiaret, tametsi etiam tum in cubiculo esset nec quicquam intellegeret eorum quae gererentur: neque enim fieri potuisse, ut quae apud illam maneret nec cuiquam verbum facere posset de iis quae adversus ipsam agerentur, etiamsi damnum sibi inferri sensisset, quicquam eorum faceret quae prohibere possent consilia ad ipsius insidias agitata; cum autem tempus efficeret ut iam quae adversus se agitata essent sentiret, se quidem admonitionibus usam esse apud matrem, ne iis quae contra se acta essent abuteretur, sed ut quae matrem decerent erga se praestaret, atque paternorum bonorum sibi restitutionem faceret quemadmodum legi placeret; illam vero liberis ex secundo matrimonio natis totam deditam nullo pacto eiusmodi orationes admisisse, quin e contrario sacram nostram praetendisse legem, qua contineatur non posse se contra ipsam restitutionis iure uti: quamquam ea lex nihil eiusmodi sanciat de matribus quae liberorum suorum tutelam suscepissent et secundas nuptias amplecterentur, sed aliis de terminis et modis a pietate nostra pronuntiata sit. Atque propterea supplicationem nobis obtulit, quo et consilium sacrae legis manifestum atque extra dubitationem positum redderemus, neve iis quae eadem continentur abutens Auxentia mater sua res a patre relictas in proprium lucrum converteret.

---

2 *rubr.* Περὶ τοῦ δύνασθαι τοὺς παῖδας κατὰ τῶν ἐπιτροπευόντων αὐτῶν γονέων (κατὰ τῶν ἐπιτρόπων αὐτῶν *index*) ἀποκαθίστασθαι *Ath.* ‖ δεῖν — ὑποκεῖσθαι] ὑποκεῖσθαι τὰς μητέρας *Theod.* ‖ 4 στρατηγῷ *addidi ex Ath.* ‖ 5 ἀνέτεινε] ἀνέτεινεν ἡμῖν *cit. Theod.* ‖ 6 γινομένου *L* ‖ 7 καταθεμένην] καὶ καταθεμένην *mavult Zachariae perperam* ‖ 8 * προσομιλήσοι *ML* (*cf.* 732, 6) ‖ 9 νόμοις] *Cod.* 5, 35, 2 ‖ 10 *praestat* οὔτε τινὸς ‖ διδομένου *L* ‖ 12 προβαλομένην *L* ‖ 14 ἐπιλαβομένης *L* ‖ πείθειν *Haloander*] πείθει *ML* ‖ ζητῆσαι *L*[a] ‖ 15 πείθειν *Haloander*] πείθει *ML* ‖ αὐτὴν *ML* (*cf.* 732, 8) ‖ 17 καὶ | καὶ πρὸς *L* ‖ 18 εἰ καὶ *cum Haloandro vulg. male* ‖ 20 ταύτην *L* ‖ αἰσθάνεσθαι *L* ‖ 21 ἐνδείξασθαι *L* ‖ 23 προΐεσθαι *L* ‖ 24 καὶ *om. cum Scrimgero vulg. male* ‖ νομοθεσίαν] *Cod.* 2, 41, 2 ‖ 25 χρῆσθαι *L* ‖ τοιούτων *M*[a] ‖ οἰκείων *om.* *L*[a]

CAPUT I.

Ταῦτα τοίνυν τῆς ἱκετηρίας ἐχούσης εἰκότως πρὸς τόνδε τὸν θεῖον πραγματικὸν εἴδομεν τύπον, δι' οὗ θεσπίζομεν, τῆς θείας ἡμῶν νομοθεσίας οὐδεμίαν ποιουμένης μνήμην περὶ τῶν ἀναδεξαμένων ἐπιτροπὴν τῶν οἰκείων παίδων καὶ δεύτερον ἀνελομένων γάμον, μὴ ἐξεῖναι Αὐξεντίᾳ τῇ λαμπροτάτῃ κεχρῆσθαι τῇ αὐτῇ θείᾳ ἡμῶν νομοθεσίᾳ, διά τε τὰς εἰρημένας αἰτίας καὶ τὸ τὴν τῶν ὑπομνημάτων πρᾶξιν, καθ' ἣν τὴν ἐπιτροπὴν Μάρθας τῆς αὐτῆς θυγατρὸς ἀνεδέξατο, δεικνύναι τὸν τοῖς νόμοις διωρισμένον αὐτὴν παρασχεῖν ὅρκον ὡς δευτέροις οὐχ ὁμιλήσει γάμοις, καὶ ὡς τῶν ὅρκων περιφρονήσασα συνῴκησε μὲν ἀνδρὶ δευτέρῳ καὶ παῖδας ἐξ αὐτοῦ ποιησαμένη διαλύσεις ὑπὲρ τῆς τῶν πραγμάτων ἀποκαταστάσεως παρεσκεύασεν εἰς ἑαυτὴν ἐκθέσθαι Μάρθαν τὴν λαμπροτάτην αὐτῆς θυγατέρα· δύνασθαι δὲ πᾶσαν ἔχειν ἄδειαν θεσπίζομεν Μάρθαν τὴν λαμπροτάτην τῷ δικαίῳ τῆς ἀποκαταστάσεως χρήσασθαι, φάσκουσαν ἔτι καὶ νῦν οὔπω ἑαυτὴν ἐπιβῆναι τοῦ εἰκοστοῦ πέμπτου τῆς ἡλικίας ἔτους, κατ' οὐδὲν ἀντικειμένης αὐτῇ τῆς θείας νομοθεσίας τῆς παρ' ἡμῶν μὲν τεθείσης, θεσπιζούσης δὲ τοὺς παῖδας μὴ δύνασθαι κατὰ τῶν οἰκείων γονέων τῷ τῆς ἀποκαταστάσεως χρήσασθαι δικαίῳ μηδὲ τοὺς ἀπελευθέρους κατὰ τῶν οἰκείων πατρώνων, διὰ τὸ περὶ τῶν ἀναδεδεγμένων τὴν τῶν οἰκείων παίδων ἐπιτροπὴν τὸν νόμον μηδὲν διαλέγεσθαι, τοὐναντίον δὲ καὶ ἑτέραν θείαν ἡμῶν νομοθεσίαν μετὰ ταῦτα φοιτῆσαι θεσπίζουσαν τοὺς καθισταμένους ἐπιτρόπους μὴ ἄλλως τὰς τῶν νέων ἐπιτροπὰς ἀναδέχεσθαι, πρὶν ἂν ἐν τῷ καιρῷ τῆς ἑαυτῶν προβολῆς κατάθοιντο μὴ τοὺς νέους καταλιμπάνειν ἀδεφενδεύτους, καὶ εἰ συμβαίη καὶ μητέρα τῶν οἰκείων παίδων ἐπιτροπὴν ἀναδέξασθαι, καὶ αὐτὴν τοῦτο πράττειν καὶ πᾶσιν ἐνέχεσθαι τοῖς ἐπιτροπικοῖς λόγοις, καὶ εἴπερ ἕτερον βουληθείη τοῖς ἑαυτῆς προβάλλεσθαι παισίν, οἰκείῳ κινδύνῳ καὶ τῶν ὑπαρχόντων αὐτῇ πραγμάτων τοῦτο ποιεῖν. ὥστε κἀνταῦθα τρόποις ἅπασι προσήκειν Μάρθαν τὴν λαμπροτάτην, εἴπερ δείξει μὴ παρῳχηκέναι τοὺς χρόνους ἐν οἷς οἱ περὶ τῆς ἀποκαταστάσεως ἁρμόττουσιν αὐτῇ λόγοι, καὶ τῇ ἀποκαταστάσει χρήσασθαι καὶ τοῖς ἄλλοις ἅπασιν, οἷς οἱ ἡμέτεροι νόμοι τοῖς ἐπ' ἀτελοῦς ἡλικίας οὖσι πᾶσαν διδόασι παρρησίαν τε καὶ βοήθειαν. φυλάττεσθαι μὲν γὰρ καὶ τὸ ἡμέτερον θεσπίζει κράτος τὴν ὀφειλομένην τοῖς γονεῦσι παρὰ τῶν παίδων αἰδῶ καὶ πᾶσαν τιμήν τε καὶ θεραπείαν, ἐν ᾧ μηδεμία βλάβη παρ' αὐτῶν κατ' ἐκείνων γένοιτο, τὸ δὲ τῶν ἐκ τοῦ προτέρου γάμου παίδων ὑπερορᾶν οὔτε ὅσιον εἶναι κρίνομεν οὔτε ἄλλως προσήκειν τὰ ἐκ τῆς πατρῴας περιουσίας εἰς αὐτοὺς περιερχόμενα πράγματα τὰς τοιαύτας μητέρας δύνασθαι κέρδος οἰκεῖον ἢ τῶν κατὰ δευτέραν τάξιν αὐταῖς συνοικησάντων καὶ τῶν ἐκ τῶν τοιούτων γινομένων συνοικεσίων παίδων ποιεῖσθαι.

⟨Ἐπίλογος.⟩ Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα τύπου ἡ σὴ ἐνδοξότης ἅμα τῷ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς Θεουπολιτῶν ἔργῳ καὶ πέρατι παραδοθῆναι σπουδασάτω. D. k. Febr. CP. dn. Iustiniano pp. Aug. ⟨III.⟩ cos. [*a.* 533.]

I. *Cum igitur haec supplicatio contineret, merito ad hanc sacram pragmaticam formam respeximus, qua sancimus, ut quoniam sacra lex nostra nullam mentionem facit earum quae tutelam liberorum suorum susceperint et secundas nuptias amplexae sint, non liceat Auxentiae feminae clarissimae eadem sacra lege nostra uti cum propter praedictas causas tum quod actorum confectio, ex qua tutelam Marthae filiae suae suscepit, comprobat eam iusiurandum legibus constitutum praestitisse se secundas nuptias non esse inituram, et contempto iureiurando coniunxisse se secundo viro, liberisque ex eo susceptis effecisse ut pactionem de restitutione rerum Martha clarissima ipsius filia sibi exponeret. Sancimus autem, ut Martha femina clarissima possit omnem habere facultatem iure in integrum restitutionis utendi, praesertim cum etiamnunc se vigesimum quintum aetatis annum nondum ingressam esse dicat: ne ullo modo ei obiciatur sacra lex a nobis lata, quae sancit non posse liberos contra parentes suos nec libertos contra patronos suos in integrum restitutionis iure uti, propterea quod de iis qui liberorum suorum tutelam susceperint illa lex nihil exponit, e contrario vero altera quoque sacra lex nostra postea prodiit quae sancit, ut tutores qui instituantur non aliter minorum tutelas suscipiant quam si tempore designationis suae testationem deposuerint se minores indefensos non relicturos, et si etiam matrem liberorum suorum tutelam suscipere contingat, ipsa quoque hoc faciat atque omnibus tutelae rationibus obnoxia sit, et si alterum liberis suis designare tutorem voluerit, periculo suo et rerum suarum id faciat. Itaque hic quoque omnibus modis convenit, ut Martha femina clarissima, si quidem comprobaverit non praeterisse tempora intra quae restitutionis condiciones ipsi competunt, et restitutione utatur et reliquis omnibus per quae leges nostrae iis qui imperfectae sunt aetatis omnem veniam et opem praestant. Etenim maiestas quoque nostra sancit, ut servetur reverentia quae parentibus a liberis debetur omnisque honor et cultus, dummodo nullum ab ipsis damnum illis inferatur; parentes vero liberos ex priore matrimonio natos negligere nec fas esse iudicamus neque alioqui convenire ut res quae ex paterna substantia ad eos perveniant eiusmodi matres possint in suum vel eorum qui secunda vice ipsis coniuncti sunt vel liberorum ex eiusmodi matrimoniis procreatorum lucrum convertere.*

Epilogus. Quae igitur nobis placuerunt et per hanc sacram pragmaticam formam declarantur tua gloria simul cum beatissimo archiepiscopo urbis Theopolitanae ad opus effectumque adducere studeat.

---

4 **τε] δὲ ML, om. cum Scrimgero vulg.* ‖ *τὸ τὴν Zachariae] τὴν ML, τὸ Haloander* ‖ 5 *μάρθης L* ‖ *δεικνύναι] δεικνύναι τε cum Haloandro vulg. male* ‖ 6 *μὲν suspectum* ‖ 8 *μάρθα L* ‖ *δὲ] δὴ cum Haloandro vulg.* ‖ 10 *πέμπτου L] om. M* ‖ 11 *μὲν om. L* ‖ 14 *θει* L*[a] ‖ *νομοθεσίαν] Cod.* 5, 37, 28 § 4 ‖ 15 *ἀναδέξασθαι L* ‖ 17 *ἐνέχεσθαι post λόγοις coll. L* ‖ *λόγοις ML Ath.] λογισμοῖς coni. Zachariae non recte* ‖ *ἑαυτοῖς M* ‖ 19 *δείξοι M* ‖ *μὴ om. L*[1] ‖ 20 *καὶ τῇ] καὶ om. L* ‖ 21 *πᾶσαν L] πᾶσι M, παισὶ Haloander* ‖ 22 *αἰδῶ M*[b] *L* ‖ 23 *ἐν ᾧ ML Ath.] ἐφ' ᾧ coni. Hombergk sine causa* ‖ *ἐκεῖνον L* ‖ *τὸ δὲ L] τοὺς δὲ M* ‖ 24 *εἶναι om. L* ‖ 26 *συνῳκησάντων L* ‖ *γινομένων M Ath.] γενομένων L vulg.* ‖ 27 *δηλούμενα τύπου (s. v. νόμου) L] τύπου δηλούμενα M* ‖ 28 *θεοπολιτῶν L* ‖ *σπευσάτω L* ‖ 29 *subscr.* d. k. febr. cr. dn. iustin. pp. aug. uc. conss. *M Δατ. καλ. Φεβρ. βασιλείας Ἰουστινιανοῦ Αὐγούστου ὑπατείας τοῦ αὐτοῦ Ath. ἐξεφωνήθη ἐπὶ τῇ ὑπατείᾳ Ἰουστινιανοῦ Theod. Numerum* III. *suppl. Zachariae, recte monens de secundo consulatu* (*a.* 528) *cogitari non posse, cum a.* 529 *demum et Belisarius magister militum per Orientem factus sit et Antiochiae nomen inditum sit Theopolis* (*v.* 28); *praeterea leges allatae* (731, 24. 732, 14) *anni sunt* 531.

PNϚ

ΠΕΡΙ ΤΗΣ ΜΕΡΙΖΟΜΕΝΗΣ ΓΟΝΗΣ ΤΩΝ ΓΕΩΡΓΩΝ.

⟨Ὁ αὐτὸς βασιλεὺς . . . . . .⟩

⟨Προοίμιον.⟩ Οἱ τὰ πράγματα πράττοντες τῆς κατὰ Ἀπάμειαν ἁγιωτάτης ἐκκλησίας ἐδίδαξαν γεωργούς τισιν ἑτέροις προσήκοντας γεωργίσσαις αὐτῶν συναφθῆναι καὶ παιδοποιήσασθαι, καὶ ᾔτησαν ἀποδοθῆναι αὐτοῖς καὶ τοὺς γεωργοὺς καὶ τοὺς τούτων παῖδας τῇ μητρῴᾳ γαστρὶ κατακολουθοῦντας. ἀλλὰ ἐοίκασι ταῦτα αἰτοῦντες μὴ εἰδέναι τὴν ἡμετέραν διάταξιν τὴν ἔναγχος φοιτήσασαν ὅ τι βούλεται.

CAPUT I.

Εἰ μὲν γὰρ ἐλεύθεροί τινες ἐναπογράφοις συνοικήσαιεν, κατὰ τοὺς τῇ διατάξει περιεχομένους λογισμοὺς ἀκολουθεῖ τὰ βρέφη τῇ μητρί, ἔνθα εἰς ἐλευθερίαν οὐκ ἔρχονται· εἰ δὲ γεωργοὶ εἶεν, οὐκέτι τῇ διατάξει παντελῶς ἐκείνῃ γίνεται χώρα, ἀλλὰ καθάπερ ἔναγχος ἐψηφισάμεθα καὶ ἐνομοθετήσαμεν, ἡ γονὴ μερίζεται. καὶ εἰ μὲν ἴσος ἐστὶν ὁ τῶν τεχθέντων ἀριθμός, εἰς δύο μερίζεται, εἰ δὲ ἄνισος ᾖ καὶ εἷς μόνος ὁ τεχθείς, τηνικαῦτα ἡ γαστὴρ ἔχει τὸ πλέον, διότι καὶ μᾶλλον ἐμόχθησε. καὶ εἷς μὲν ὢν ὁ παῖς ἀκολουθεῖ τῇ μητρί, τριῶν δὲ ὄντων τῶν τεχθέντων οἱ δύο ἢ αἱ δύο τῆς μητρὸς ἔσονται, ὁ εἷς δὲ τῇ τοῦ δεσπότου τοῦ πατρὸς ἀκολουθήσει δεσποτείᾳ, καὶ οὕτως ἀεὶ τὸ περιττόν, καθάπερ εἰπόντες ἔφθημεν, ἡ γαστὴρ ἕξει. καὶ κατὰ τοῦτο καὶ οἱ Ἀπαμεῖς μεριστέαν ἔσεσθαι τὴν γονὴν γινωσκέτωσαν, ἵνα τὸ ἐν πολλοῖς στασιαζόμενον χρόνοις μάθωσιν ὡς ὑφ' ἡμετέραν γέγονε νομοθεσίαν.

PNZ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΑΛΛΟΤΡΙΟΙΣ ΧΩΡΙΟΙΣ ΓΑΜΟΥΝΤΩΝ ΓΕΩΡΓΩΝ.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Λαζάρῳ κόμητι τῆς Ἕω.

⟨Προοίμιον.⟩ Ἐκ τῶν εἰς ἡμᾶς διαφόρως ἀνηνεγμένων πλημμελεῖσθαί τι κατὰ τὴν μέσην τῶν ποταμῶν καὶ πρός γε τὴν Ὀσροηνὴν ἐπαρχίαν ἐμάθομεν τῶν ἡμετέρων ἀνάξιον χρόνων. συνειθίσθαι μὲν γὰρ αὐτοῖς τοὺς ἐκ διαφόρων ὡρμημένους χωρίων γάμους πρὸς ἀλλήλους συμβάλλειν, νῦν δὲ δὴ πειρᾶσθαι

Nov. CLVI Graece tantum extat in ML (αὕτη οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ ἀλλὰ παρεσιωπήθη schol. M in marg.), sed fuisse in B 48, 26 et 55, 14, 5 dicunt ind. reg. et Coisl. — Epit. Theod. 156, Athan. 18, 5.
Nov. CLVII Graece tantum extat in ML, fuit in B 55, 14, 1. — Epit. Theod. 157, Athan. 18, 6.

CLVI.

DE PROLE COLONORUM DIVIDENDA.

⟨Idem Augustus . . . . . .⟩

Praefatio. Qui negotia sanctissimae Apamensis ecclesiae gerunt docuerunt nos, colonos qui ad alios aliquos pertinerent se colonis suis mulieribus coniunxisse liberosque procreasse, et petierunt, ut sibi restituerentur et coloni et eorum liberi ventrem maternum sequentes. Sed cum haec petant nescire videntur, quid constitutio nostra quae nuper prodiit sibi velit.

I. *Nam si qui liberi adscripticiis se coniungant, secundum rationes in constitutione comprehensas infantes matrem sequuntur, unde ad libertatem non perveniunt; si vero coloni sint, non amplius constitutioni illi omnino locus est, sed quemadmodum nuper decrevimus et sanximus, proles dividitur. Atque si quidem aequalis est numerus natorum, in duas partes dividitur, sin autem inaequalis vel etiam unus solum est natus, tum quod plus est venter habet, quoniam etiam magis laboravit. Et unus quidem si est filius matrem sequitur, sin tres sunt, duo vel duae erunt matris, unus autem domini paterni sequetur dominium, atque ita semper quod superat, sicut ante diximus, venter habebit. Et secundum hoc Apamenses quoque prolem dividendam esse cognoscant, ut quod per multa tempora in controversia positum erat, intellegant sub legislationem nostram redactum esse.*

CLVII.

DE COLONIS QUI IN ALIENIS PRAEDIIS NUPTIAS CONTRAXERUNT.

Imperator Iustinianus Augustus Lazaro comiti Orientis.

Praefatio. Ex iis quae diverso modo ad nos relata sunt comperimus delinqui aliquid in Mesopotamia et praeterea in Osroena provincia indignum temporibus nostris. Consuetudinem enim apud illos esse, ut qui ex diversis praediis orti sint nuptias inter se contrahant, nunc vero dominos conari nuptias

---

2 *rubr.* Περὶ τοῦ ἐπιμερίζεσθαι τὴν γονὴν τῶν γεωργῶν *Ath.* ‖ 3 *inscr.* Ὁ αὐτὸς βασιλεὺς *Ath., om. ML (ad Lazarum comitem Orientis hanc novellam pariter atque sequentem datam esse conicit Zachariae)* ‖ 4 ἀμάπειαν? L^a ‖ 5 παιδοποιῆσαι L^a ‖ ἀποθεῖναι *L* ‖ 6 αὐτοῖς *cum Scrimgero vulg.* ‖ 7 διάταξιν] *Cod.* 11, 48, 24 ‖ 8 συνοικήσαιεν] ὄντες συνοικήσαιεν L^a ‖ 9 ἀκολουθεῖ *Osenbrüggen*] ἀκολου^{θ} (*id.* 12) *L* ἀκολουθεῖν *M* ‖ 10 παντελὴς *L* ‖ ἐνομοθετήσαμεν] *nov.* CLXII *c.* 3, *quam tempore priorem esse Cuiacius monet (accedit quod huius novellae epitome praecedit ap. Ath.* 18, 4) ‖ 11 ἴσως *L* ‖ εἰς δύο μερίζεται] ἐξίσου μερίζεσθαι αὐτὰ τῷ πατρὶ καὶ τῇ μητρί, ἐχούσης μέντοιγε τῆς μητρὸς τὴν ἐπιλογήν *Theod.* ‖ 12 ταχθεὶς *L* ‖ 13 τῆς μητρὸς ἔσονται *M Ath.*] τῇ μητρὶ ἕπονται *L* ‖ 15 οἱ *om. L* ‖ μερισταῖαν ἔσεσθαι *M* μερισθήσεσθαι *L* ‖ 16 *subscriptio non servatur; a.* 539 *paullo recentiorem esse constitutionem ex v.* 10 *efficitur* ‖ 18 *rubr.* Περὶ γεωργῶν ἐπ' ἀλλοτρίοις γημάντων χωρίοις ἐν Μεσοποταμίᾳ καὶ ἐν Ὀσροηνῇ *Theod.* Περὶ τῶν πρὸ τῆς διατάξεως γενομένων γεωργικῶν γάμων *Ath.* ‖ 19 αὔγουστος *L*] *om. M* ‖ 20 εἰς ἡμᾶς διαφόρων L^a, διαφόρως εἰς ἡμᾶς *cit. Ath.* ‖ 21 συνείθισται *L*

τοὺς δεσπότας τοὺς γάμους διαλύειν ἤδη πραχθέντας ἢ τοὺς γενομένους παῖδας τῶν γονέων ἀφέλκειν, κἀντεῦθεν ὅλον τὸ τῶν τόπων ἐκείνων ταλαιπωρεῖσθαι γεωργικόν, διαιρουμένων ἐκ βίας ἀνδρῶν τε καὶ γυναικῶν, ἀφελκομένης δὲ γονῆς ἐκ τῶν παραγαγόντων εἰς φῶς, καὶ μόνης ἡμετέρας εἶναι τὸ πρᾶγμα προνοίας.

CAPUT I.

Θεσπίζομεν τοίνυν, τοῦ λοιποῦ μὲν τοὺς τὰ χωρία κεκτημένους ὡς ἂν ἐθέλοιεν παραφυλάττειν τοὺς γεωργούς, ὅσοιπερ αὐτοῖς κατὰ τὸν νόμον προσήκουσιν, ὡς μὴ γάμους πρὸς τοὺς ἐξ ἑτέρων ὡρμημένους χωρίων συμβάλλειν· τοὺς δὲ μέχρι νῦν γενομένους γάμους εἶναι κυρίους, καὶ μηδένα δύνασθαι διασπᾶν τοὺς ἤδη συναφθέντας κατὰ τὸ κρατοῦν πρότερον ἔθος, ἢ γεωργεῖν τὴν προσήκουσαν αὐτοῖς ἀναγκάζεσθαι γῆν, ἀλλὰ μηδὲ τῶν γονέων ἀφαιρεῖσθαι τοὺς παῖδας προφάσει τύχης γεωργικῆς. ἀλλὰ κἂν εἴ τι τοιοῦτον ἤδη γενόμενον ἔτυχεν, ἐπανορθώσεις τε καὶ τοῦτο καὶ ἀποδοθῆναι παρασκευάσεις, εἴτε παῖδας ἀφαιρεθῆναι συμβέβηκεν εἴτε καὶ γυναῖκας, τοῖς τε γονεῦσιν καὶ τοῖς συνοικοῦσι φαμέν· τοῦ ποιῆσαί τι τοιοῦτον πρὸς τὸν ἔπειτα χρόνον θαρροῦντος καὶ περὶ αὐτὸ κινδυνεύοντος τὸ χωρίον. ἀλλ' ἀπαλλάττεσθαι τὰ συνοικέσια τοῦ νῦν ἐπιτιθεμένου δέους, καὶ οἱ γονεῖς τοὺς παῖδας ἐχέτωσαν ἐκ ταύτης ἡμῶν τῆς κελεύσεως, οὐ δυναμένων ἀκριβολογεῖσθαι τῶν τὰ χωρία κεκτημένων καὶ ἀφέλκειν ἢ τοὺς συναλλάξαντας ἢ τοὺς παῖδας· ὁ γὰρ δὴ τοιοῦτό τι ποιῆσαι πειρώμενος καὶ περὶ αὐτὸ κινδυνεύσει τὸ χωρίον, ᾧ δῆθεν πειρᾶται τοὺς γεωργοὺς ἐκδικεῖν.

⟨Ἐπίλογος.⟩ Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα τύπου ἡ σὴ μεγαλοπρέπεια καὶ ἡ πειθομένη σοι τάξις καὶ ὁ κατὰ καιρὸν τῆς αὐτῆς ἀρχῆς ἡγησόμενος εἰς ἔργον ἀχθῆναι καὶ παραφυλαχθῆναι προνοησάτω, trium librarum auri *ποινῆς ἐπικειμένης κατὰ παντὸς τοῦ ταῦτα παραβαίνειν ἐπιχειροῦντος.* Dat. k. Mai. CP. ⟨imp.⟩ dn. Iustiniani pp. Aug. anno XVI. pc. Basilii vc. [*a.* 542.]

ΡΝΗ

ΠΕΡΙ ΤΟΥ ΠΑΡΑΠΕΜΠΕΣΘΑΙ ΤΟ ΤΗΣ ΔΙΑΣΚΕΨΕΩΣ ΔΙΚΑΙΟΝ ΚΑΙ ΕΠΙ ΑΝΗΒΩΝ.

⟨Ὁ αὐτὸς βασιλεὺς . . . .⟩

⟨Προοίμιον.⟩ Δέησις ἡμῖν ἀνεγνώσθη Θέκλας τῆς καὶ Μανοῦς, διδάσκουσα Θέκλαν τινὰ καταλῦσαι τὸν βίον ἐπὶ Σεργίᾳ θυγατρὶ τὴν ἄνηβον ἡλικίαν ἀγούσῃ, ἑκκαίδεκά τε μόλις ἡμέρας ἐπιζήσασαν τῇ μητρὶ

Nov. CLVIII Graece tantum extat in ML (fuit in B 35, 18, 1 *secundum Tipucitum et indices Coisl. et reginae). — Epit. Theod.* 158 *(inde B[s] K* 14, 53 *p.* 209 *Zach.), Athan.* 9, 13 *(inde Anon. Bodlei.* 28 *p.* 223 *Zach.); summarium exhibet schol. Epitomae* 3, 16 *p.* 301 *Zach.*

---

dissolvere iam contractas vel liberos inde natos a parentibus abstrahere, atque inde omnes illorum locorum colonos misere affligi, dum viri et mulieres per vim separentur, proles autem ab iis qui eam in lucem produxerunt abstrahantur, et rem sola nostra indigere providentia.

I. *Sancimus igitur, ut in posterum quidem praediorum domini colonos, quicumque ad eos ex lege pertinent, quomodo voluerint custodiant, ne cum iis qui ex aliis praediis orti sunt nuptias contrahant; nuptiae vero adhuc contractae ratae sint, neu quisquam possit eos qui iam coniuncti sunt secundum morem qui antea obtinuit divellere, aut cogere ut terram ad ipsos pertinentem colant, sed ne liberos quidem a parentibus abripere nomine condicionis colonariae. Sed etiam si quid forte eiusmodi iam factum est, id quoque emendabis et restituendum curabis, sive liberos abripi contigerit sive etiam mulieres, a parentibus dicimus et coniugibus: ut qui eiusmodi posteriore tempore quid facere audeat, etiam de ipso praedio periclitetur. Verum matrimonia a metu nunc imminente liberentur, habeantque parentes liberos ex hac nostra iussione, neve possint praediorum possessores rem subtiliter perscrutari et aut matrimonio iunctos aut liberos abstrahere: qui enim quid eiusmodi facere conetur, etiam de ipso praedio periclitabitur, cui scilicet colonos vindicare conatur.*

Epilogus. Quae igitur nobis placuerunt et per hanc sacram pragmaticam formam declarantur tua magnificentia et obtemperans tibi officium et qui pro tempore eundem magistratum gesturus est ad effectum adducenda et observanda curet, cum trium librarum auri poena unicuique immineat qui haec violare temptet.

CLVIII.

UT DELIBERANDI IUS ETIAM AD IMPUBERES TRANSMITTATUR.

⟨Idem Augustus . . . . . .⟩

Praefatio. Preces nobis recitatae sunt Theclae, quae etiam Mano appellatur, quae declarant Theclam quandam vita defunctam esse relicta filia Sergia impuberem aetatem agente, cumque vix sedecim

---

2 *τὸ τῶν*] *τὸν L* ‖ *γεωργικῶν M[a]* ‖ *διαιρούμενον M* ‖ 3 *προσαγόντων L* ‖ 5 *ὅσοιπερ* — 6 *κυρίους om. L* ‖ 7 *τὴν Haloander*] *μὴ L, om. M* ‖ *γῆν ἀναγκάζεσθαι L* ‖ 8 *γινόμενον L[a]* ‖ 9 *ἐπανορθῶσαί τε L* ‖ 10 *καὶ L*] *ἢ καὶ M, quod servari potest τε in γε mutato* ‖ *τι*] *τοι L[a]* ‖ *θαρρούντως L* ‖ 11 *ἀπαλλαττέσθω cum Haloandro vulg.* ‖ *τοῦ νῦν L*] *τοίνυν M* ‖ 14 *κινδυνεύει L* ‖ 17 trium librarum auri *ἤτοι τριῶν λιτρῶν χρυσίου M τριῶν λιτρῶν χρυσίου L* ‖ 18 *subscr. ἐγράφη καλανδ. Μαΐων ιϛ' βασιλείας Ἰουστινιανοῦ τὸ (corr. βασιλείας Ἰουστινιανοῦ τὸ ιϛ') μετὰ τὴν ὑπατείαν (add. Βασιλείου) Ath. ἐξεφωνήθη μηνὶ μαΐῳ ἔτει ή (ιϛ' corr. Zachariae) βασιλείας Ἰουστινιανοῦ Theod.* dat. k. mai. cp. dn. iust. pp. aug. bilisar. uo. conss. *M, unde anno* 535 *tribuitur vulg. (Bienero p.* 529 *antiquior videbatur novellis CLXII et CLVI, sed cf. Cuiacii expos.; verum ordinem trium constitutionum servavit Ath.* 18, 4—6) ‖ 20 *rubr. Πότε ὁ μὴ ἀδιτεύσας κληρονόμος τὸ δίκαιον τῆς ἀδιτίονος δύναται τοῖς ἰδίοις παραπέμπειν διαδόχοις Ath. (περὶ κληρονόμων διασκέψεως B[s])* ‖ *διαπέμπεσθαι B ind. Coisl.* ‖ 21 *καὶ ἐπὶ (περὶ Theod. v. l.) ἀνήβων παίδων Theod., ind. Coisl.* ‖ 22 *inscr. Ὁ αὐτὸς βασιλεύς Ath., om. ML* ‖ 23 *ἀνεγνώσθη M Ath. Theod.*] *ἀνηνέχθη L* ‖ *θέκλας M*] *θέκλης L Ath.* ‖ *μανοῦς M*] *μαννοῦς L μάννους (μάνου Anon. Bodl.) Ath.* ‖ 24 *ἑκκαίδεκά τε M*

τὴν παῖδα τελευτῆσαι ἐπὶ τῆς ἔναγχος συμβάσης τῶν ἀνθρώπων φθορᾶς· καὶ ἀδελφὴν μὲν τὴν ἡμῶν δεηθεῖσαν καθεστάναι φησὶ τῷ Σεργίας πατρί, Κοσμᾶν δὲ τὸν Θέκλας ἀδελφὸν ἀντιποιήσασθαι τοῦ Σεργίας κλήρου καὶ δίκην αὐτῇ ὑπὲρ τούτου λαχεῖν· τὴν δέ, ὡς ἄν γε μὴ περὶ τῶν οὐκ ὀρθῶς ἐχόντων φιλονεικοίη, γενέσθαι πρὸς Ἰωάννην συνήγορον τῆς ἐπὶ χώρας ἀγορᾶς, καὶ πυθέσθαι τούτου περὶ τῶν νόμων τῶν τὴν ὑπόθεσιν ταύτην ὁρώντων, κἀκεῖνον ἐν γράμμασιν ἀπόκρισιν αὐτῇ παρασχεῖν δηλοῦντα δι' αὐτῆς, ὡς ἐπ' αὐτὴν ὁ Σεργίας φέροιτο κλῆρος· διὰ ταῦτα τοίνυν Ἰωάννην αὐτὸν ἑλέσθαι τῆς ὑποθέσεως δικαστήν, πράξαντος ὑπὲρ Κοσμᾶ Ἀσκληπιοῦ τινος σκρινιαρίου τῆς κατὰ τὴν Ἕω στρατηγίδος ἀρχῆς· καὶ ψῆφον Ἰωάννην παρασχεῖν ἐναντίαν οἷς ἐν γράμμασιν ἀπεκρίνατο, χρησάμενον εἰς τὴν ψῆφον τῷ Θεοδοσίου τοῦ τῆς θείας λήξεως νόμῳ τῷ λέγοντι τὸν οὔπω ἐνιαυτῶν ἑπτὰ γενόμενον μὴ δύνασθαι τὸν μητρῷον οἰκειοῦσθαι κλῆρον εἰ μὴ ἐπίτροπον ἔχοι, ἀλλ' ἐπ' ἐκείνους φέρεσθαι τοῦτον οἷς ἁρμόζειν ἤμελλεν εἰ μὴ πρὸς τὸν κλῆρον ὁ τελευτήσας ἄνηβος ὑπὸ τῶν νόμων ἐκλήθη· καὶ οὐκ εἶπε ταῦτα μόνον ἐπὶ τῆς ψήφου, ἀλλὰ καὶ παρεσκεύασε τὴν ἡμῶν δεομένην συνθήκας ἀκολούθως θέσθαι τῇ ψήφῳ, καὶ ὑπηγόρευσε ταύτας αὐτὸς πάλιν πρὸς Ἀσκληπιὸν τὸν ὑπὲρ Κοσμᾶ τὴν δίκην ἀγωνισάμενον· ᾔτησέ τε ἡμᾶς μὴ περιϊδεῖν αὐτὴν οὕτως ἀδικουμένην, μάλιστα μὲν ὡς καὶ νόμου κατὰ τὸν ἐπώνυμον ἡμῶν κώδικα κειμένου κελεύοντος τὸν λαλεῖν δυνάμενον καὶ τὸν μητρῷον κλῆρον καλῶς οἰκειοῦσθαι, καὶ αὖθις ἕτερον ἡμῶν τεθεικότων νόμον βουλόμενον, ἐπειδάν τις κληρονομίας εἰς αὐτὸν κατενεχθείσης, πρὶν οἰκειώσεται αὐτὴν ἢ τὴν ἐναντίαν ὑπὲρ αὐτῆς δείξει γνώμην, καταλύσῃ τὸν βίον, παραπέμπειν τοῖς κληρονόμοις τοῖς αὐτοῦ ἐπὶ τούτῳ τῷ κλήρῳ τὸ τῆς διασκέψεως δίκαιον· τὸν γὰρ δὴ παρ' ἡμῶν ἔναγχος τεθειμένον νόμον μίαν ἐπὶ τῶν κληρονομιῶν adgnatois *τε καὶ* cognatois *παρέχοντα τάξιν μὴ χώραν ἔχειν ἐπὶ ταύτης τῆς ὑποθέσεως πρεσβυτέρας οὔσης τῆς ἡμέρας, ἐξ ἧς ὁ νόμος ἐκελεύσθη κρατεῖν.*

CAPUT I.

Persarumque fines, ut primum quidem quae adhuc commissa sunt poenis competentibus persequatur (nam etiam gladii ius ei concedimus), praecipue vero milites coerceat, si qui eorum derelictis stationibus suis eiusmodi flagitiis se dediderunt. Si quem autem criminibus obnoxium invenerit, hunc cingulo privabit, qualecunque habet, non expectans, donec magistratum qui talibus militiis praeest ea de re certiorem fecerit, quippe qui semel et illius locum expleat et in omnes omnino potestatem habeat. Atque licentiam ei damus adeundi omnia loca et vicos, sive sanctissimarum ecclesiarum aut religiosorum sunt monasteriorum aut sacrorum nostrorum privatorum aut etiam sacri patrimonii aut nostrae domus, et ut simpliciter dicamus nullum omnino locum ex eius iurisdictione eximimus.

III. *Observabit autem etiam militares transitus, num cum debita disciplina procedant; et si quid in iis commissum invenerit, hoc corriget tum milites castigans ipsos tum etiam subditis nostris, quibus in rebus iniuria affecti fuerint, satisfieri curans. Potestatemque ei concedimus, ut armis privet, qui non propter aliquam militiae necessitatem ea habent, omniaque inferat publicis huius magnae urbis armamen-*
1 *tariis. Reprimetque etiam adulteria et homicidia et latrocinia et maxime mulierum raptus, rerumque ereptiones, insidias et vim, universam denique talium delictorum seriem, quod hoc potissimum potestatis a nobis ei datae caput habet. Refrenabitque improbos, sive sacerdotes sive magistratus sunt, sive posses-*
2 *sores sive privati, nec cuiquam permittet facere aliquid legibus nostris non probatum. Instituet autem etiam controversiarum examinationes et diiudicationes; habebit autem propriam cohortem virorum vicarianorum septuaginta stipendia facientium per sacra nostra probatoria, quae ex illo scrinio praebebuntur, ex quo antea quoque solebant praeberi, cum vicarius erat. Reddimus vero etiam mulas, quot quondam*

2 καὶ γὰρ δὴ *om.* ς ‖ 4 nam si qui ς ‖ αὐτῶν τοὺς οἰκείους *om.* ς ‖ 5 ἑαυτοὺς] in statuentibus(?) ς ‖ 6 ὅντινα *Zachariae male* ‖ crimini ς ‖ 8 τοῦτό] eum ς ‖ 9 στρατείαις *om.* ς ‖ 11 παρέχομεν ἄδειαν] concedentibus timorem ς ‖ 16 ἔξω *ex* ς *add. Zachariae* ‖ καταλιμπάνομεν *Zachariae*] καταλιμπάνων *M* relinquentibus ς ‖ 17 peraequabit? ς ‖ 19 emendare ς ‖ 23 τε] autem ς ‖ 24 πάντας *M* ‖ 27 καὶ *addidi ex* ς ‖ 28 τε] autem ς ‖ 31 ἔχων *supplevi ex* ς ‖ καὶ] autem ς ‖ 32 καὶ *om.* M^a, *supra v. add.* M^b ‖ 34 τι *om.* ς ‖ 35 ἐπάξει *Kroll*] ἐπέξει *M*, ἐφέξει *cum Scrimgero vulg.*, habebit ς ‖ 36 δὲ] et ς ‖ μὲν *alterum om.* ς ‖ βικαρίων M^a ‖ 37 septiaginta *M* ‖ 39 δὲ] autem ei ς ‖ 40 dederamus ς

2 emendent *V* emendetur *Pist.* ‖ ei *Pist.*] eius *V* ‖ 3 *post* praecipue autem *add. Beck* ‖ 4 relintes *V* ‖ in statuentes *Pist.*, in stationibus se talibus *Beck* ‖ 6 expoliis *V Pist., corr. Beck* ‖ 8 impleris *V* impleres *Pist.* ‖ 11 sacratissimorum *V* ‖ 12 privatorum *Beck*] priuatarum *V Pist.* ‖ 17 perequauit *V Pist.*, perspectabit *Beck* ‖ 19 militas V^a ‖ 20 in quibus *Beck* ‖ 26 reseccauit *V* resequauit *Pist.* ‖ 27 raptos *V* raptores *Pist., corr. Beck* ‖ 28 ablationes *Beck*] abalienatione *V* abalienaciones *Pist.* ‖ 30 administrationi *V* administri *Pist.* ‖ 31 compescit *V, corr. Beck* ‖ 32 aut] sint V^a ‖ 33 quiescet *Kroll*] qui nescit *V Pist.* ‖ 35 et *prius om. Pist.* ‖ 36 et *om. Pist.* ‖ 40 multos *V Pist.* ‖ declaramus *V Pist., corr. Kroll*

μένας νῦν ὁ τῆς ἐπαρχίας ἡγούμενος ἔχει λαβὼν πρὸς τὴν αὐτοῦ ὑπηρεσίαν· ἐπεί γε ἐκείνῳ μὲν οὐδὲν ἕτερον ἢ ἄρχοντι μόνον ὄντι πολιτικῷ περιττὴ τῶν τοιούτων ἡ χρεία, τῷ δὲ περιβλέπτῳ βικαρίῳ περινοστεῖν ἀναγκαζομένῳ ἀναγκαῖα τὰ τῆς ἐντεῦθεν ὑπηρεσίας
3 *ἐστίν. Ὑπακούσεται δὲ αὐτῷ πᾶσα στρατεία ὑπ' ἐκείνους οὖσα τοὺς τόπους, καὶ ὑπουργήσουσι τοῖς παρ' αὐτοῦ λεγομένοις δομέστικοί τε καὶ προτίκτωρες, σχολάριοί τε καὶ στρατιῶται· οὐ δεόμενοι προστάξεως ἀρχικῆς ἢ κελεύσεως ἡμετέρας, ἀλλ' αὐτῷ τῷ τῆς ἀρχῆς ὑπουργοῦντες δικαίῳ. ὑπουργήσουσι δὲ καθ' οὓς ἕκαστοι διάγουσι τόπους, πλὴν εἰ μή τις δικαία καὶ ἀπαραίτητος χρεία μείζονος βοηθείας δεομένη πρὸς ἀνάγκην αὐτὸν καταστήσει τοῦ καὶ ἐξ ἑτέρων*
4 *τόπων εἰς ἑτέρους τόπους μεταγαγεῖν. Χρήσεται δὲ κήρυκος φωνῇ καὶ λαμπάσι* quattuor, *ὡς καὶ δαπάνης παρ' ἡμῶν ὑπὲρ τούτου ὁρισθείσης, καὶ τοῖς ἄλλοις ἐπισήμοις ὅσα πολιτικῆς τε καὶ στρατιωτικῆς ἐστιν ἀρχῆς. ὅθεν καὶ* ad responsum *αὐτῷ κελεύομεν ὑπουργεῖν κατὰ μίμησιν τῶν ἐνδοξοτάτων ἡμῶν στρατηγῶν, δι' οὗ καὶ σωφρονιεῖ στρατιώτας, εἴπου καλέσει καιρός, καὶ συνέξει πρὸς τὰς ἀναγκαίας τοῦ πράγματος ὑπουργίας. ὅσας δὲ σιτήσεις ἀφωρίσαμεν αὐτῷ τε καὶ παρέδρῳ καὶ τῇ ὑπ' αὐτὸν τάξει, καὶ ὅσας δεῖ τοῦ λοιποῦ τὸν τῆς πρώτης Γαλατίας ἡγούμενον ἔχειν ὑπὲρ αὐτοῦ τε καὶ παρέδρου καὶ τῆς πειθομένης αὐτῷ τάξεως, ὅσα τε αὐτὸν ὑπὲρ τῶν τῆς ἀρχῆς συμβόλων προσήκει παρέχειν ἢ ἐν τῷ θείῳ ἡμῶν παλατίῳ ἢ ἐν τῷ πραιτωρίῳ τῶν ἐνδοξοτάτων ἐπάρχων, διὰ τῆς ὑποτεταγμένης ἀπογραφῆς πᾶσι γενήσεται δῆλα. ταύτην ἡμεῖς τὴν ἀρχὴν τοῖς τόποις ἐκείνοις ἀποδεδώκαμεν, ὥστε τοῖς ἀδικουμένοις ἐκ προχείρου τὴν βοήθειαν εἶναι, καὶ πάντας τοὺς κατ' ἐκείνους οἰκοῦντας τοὺς τόπους ἀπηλλάχθαι μὲν τῶν ἄχρι νῦν κατεχόντων αὐτοὺς δυσχερῶν, ἡσυχίας δὲ καὶ εὐνομίας ἀπολαύειν ἁπάσης, ἀρχὴν τοῖς τόποις ἐπιστησάντων ἡμῶν πρὸς πᾶσαν ἐφεξῆς ἀδικίαν τε καὶ παρανομίαν δυναμένην ἀρκεῖν.*

⟨Ἐπίλογος.⟩ Ταῦτα τοίνυν δῆλα τῇ σῇ ἐνδοξότητι καταστῆσαι συνείδομεν, ὥστε αὐτὴν γινώσκουσαν τὰ περὶ τούτου νῦν ἡμῖν παραστάντα παραφυλάττειν εἰς τὸν ἔπειτα χρόνον καὶ τὰς σιτήσεις αὐτῷ χορηγεῖν, καθὰ τῇ ὑποταγείσῃ παρ' ἡμῶν ἀπογραφῇ

provinciae iudex habet accipientem ad suum ministerium. Illi videlicet ad nihil aliud nisi iudici tantummodo constituto civili superfluum eorum est opus, viro spectabili vero vicario, circumlustrare necessitatem habenti provincias necessarium huiusmodi mi-
3 nisterium est. Obediet vero ei omnis militia in illis constituta locis, et obedient his, quae dicuntur ab eo, domestici et protectores et scholarii et milites, non egentes praeceptis iudicialibus aut iussionibus nostris, sed hoc ipso *** iurisdictione. Administrabunt vero ea quae singuli habitant loca, nisi quaedam iusta et inrecusabilis occasio auxilio maiore egens necesse eum constituat, ut ex aliis locis in alios istos transferre.
4 Utetur vero praeconis voce et lampadibus quattuor et expensa pro hoc a nobis definita et [in] aliis insignibus, quae civilis militarisque sunt dignitatis. Unde adresponsum ei iubemus ministrare ad imitationem gloriosissimorum nostrorum magistrorum militum, per quod et disciplinam dabit militibus, si quando vocaverit tempus, et congregat ad necessaria rerum ministeria. Quantas vero annonas delegavimus ei et consiliario eius et eius officio, et quantas oportet de cetero eum, qui primae Galatiae iudex est, habere pro se et consiliario et obedienti ei officio, quod vero ipsum pro dignitatis codicillis oportet praebere aut in divino nostro palatio aut in praetorio gloriosissimorum praefectorum, per subiectam descriptionem omnibus fiet manifestum. Hanc nos dignitatem locis illis reddimus, ut laesis promptum adiutorium sit, et omnes in his habitantes locis liberemus his quae hactenus adprehenderunt eos difficultatibus, quiete vero et tranquillitate perfrui universa, administrationem praeponentes ad omnium de cetero iniquitatem et iniustitiam valentem sufficere.

⟨Epilogus.⟩ Haec igitur manifesta tuae gloriae constituere praevidimus, ut ea cognoscens, quae de hoc nunc nobis placuerunt, observare in deinceps tempus et annonas ei ministrare, secundum quod quae subiecta est a nobis descriptio praebebit.

---

vicario assignatas nunc provinciae praeses accepit in suum ministerium; quoniam illi, qui nihil aliud nisi civilis tantum sit magistratus, supervacaneus est talium usus, spectabili vero vicario circumire coacto
3 *necessaria earum opera est. Oboediet vero ei universus exercitus in illis locis constitutus, dictoque eius audientes erunt domestici et protectores, scholares et milites, non indigentes praesidali mandato nostrove iussu, sed ipso magistratus iure obtemperantes. Oboedient autem quo quisque loco degit, nisi qua iusta et*
4 *inevitabilis necessitas maioris auxilii indigens cogat eum ex uno loco in alterum traducere. Utetur etiam praeconis voce et quattuor facibus, quoniam in hanc rem sumptus a nobis constitutus est, atque ceteris omnibus insignibus, quaecunque civilis et militaris magistratus sunt. Unde etiam ad responsum ministrare ei iubemus ad imitationem gloriosissimorum nostrorum magistrorum militum, per quod et coërcebit milites, si quando tempus postulaverit, et ad necessaria rerum ministeria continebit. Quantas vero annonas assignaverimus ei et assessori et cohorti ei parenti, et quantas debeat posthac primae Galatiae praeses habere pro se et assessore et oboediente ei cohorte, item quantum ipsum pro magistratus codicillis aut in sacro nostro palatio aut in gloriosissimorum praefectorum praetorio dare conveniat, per subiectam notitiam omnibus fiet manifestum. Hunc nos magistratum illis locis reddidimus, ut qui iniuria afficiuntur in promptu auxilium habeant omnesque, qui in illis locis habitant, quibus hactenus premuntur molestiis liberentur, et quiete atque disciplina fruantur omni, quoniam magistratum illis locis praefecimus adversus omnem iniuriam et seditionem valentem.*

Epilogus. Haec igitur manifesta tuae gloriae facere visum est, ut cognoscens quae hac de re nunc nobis placuerunt observet in futurum tempus et annonas ei praebeat, quemadmodum subiecta a nobis notitia comprehenditur.

---

1 *ἐπαρ* (*sic*) *M* ‖ *ἔχει λαβὼν*] *ἔλαβε cum Scrimgero vulg.* ‖ 2 *αὐτοῦ M* ‖ 4 *περινοστεῖν*] circumlustrare — provincias *ς* ‖ 10 *ἀλλ' — δικαίῳ*] sed hoc ipso iurisdictione *ς* ‖ 14 *ἀνάγκης M* ‖ 16 quartuor *M* ‖ 19 *ἀδρεσπόνσουμ M* ‖ 21 *καλέσει*] vocaverit (*i. e. καλέσειε*) *ς* ‖ 22 congregabit (*i. e. συνάξει*) *ς* ‖ rerum ministeria *ς* ‖ 24 consiliario eius *ς* ‖ 30 *ὑπάρχων M, correxi* ‖ 36 *ἁπάσης, ἀρχὴν ex ς Zachariae*] *ἀπὸ πάσης ἀρχῆς M* ‖ *τοῖς τόποις et ἡμῶν om. ς* ‖ 37 *πᾶσαν*] omnium *ς* ‖ 38 *παρανομίαν ex ς Mommsen*] *προνομίαν M*

1 accipiens *Beck* ‖ 3 constituunt *V Pist., corr. Beck* ‖ est] et *V Pist.* ‖ 5 habent *V Pist.* ‖ 6 obedire *et* constituti *V Pist., corr. Beck* ‖ 7 obediunt *V* ‖ 8 scolarii *V* scolari *Pist.* ‖ 10 *lacunam post* ipso *statuit Schoell* ‖ 12 auxilium maiores eget *V Pist., corr. Beck* ‖ 16 et *prius om. Pist.* ‖ diffinita *V* ‖ in *del. Beck* ‖ 17 militaribus V^{a}, quae *suprascr.* V^{b} ‖ dignitates *V* ‖ 18 ministrari *V Pist.* ‖ immitationem *V* ‖ 21 et *om.* V^{1}, *add.* V^{2} ‖ congregabit *Beck* ‖ 22 annos *V* ‖ 24 gallatie *V* ‖ est] et *V Pist.* ‖ 30 *leg.* reddidimus? ‖ aduictorium *V* ‖ 33 ueris (ue *ex* uo) V^{1}, uero V^{2} ‖ administratione *V* ‖ 42 quod *om. V*, quae *om. Pist.* ‖ 43 praebebit *om. Pist.*

περιέχεται. Dat. XV. kal. Oct. ⟨CP.⟩ imp. dn. ⟨Iustiniani⟩ pp. Aug. anno XXII. post Basilii vc. cons. anno VII.

Dat. XVII. kal. Oct. CP. imp. dn. Iustiniani pp. Aug. anno XXII. pc. . . . . .

[*a.* 548.]

θ̄

ΠΕΡΙ ΑΡΓΥΡΟΠΡΑΤΙΚΩΝ ΣΥΝΑΛΛΑΓΜΑΤΩΝ.

Αὐτοκράτωρ Ἰουστινιανὸς Αὔγουστος Τριβουνιανῷ ἐπάρχῳ πόλεως.

*⟨Προοίμιον.⟩ Τὸ κοινὸν τοῦ συστήματος τῶν ἀργυροπρατῶν τῶν ἐπὶ ταύτης τῆς μεγάλης πόλεως ὄντων ἱκέτευσε τὸ ἡμέτερον κράτος, πρὸς τοῖς ἄλλοις ἅπασιν, οἷς αὐτοῖς πεφιλοτιμήμεθα, καὶ νῦν καθ' ἕτερον αὐτοῖς βοηθῆσαι τρόπον. ἐδίδαξαν γάρ τινας ἐποφλήσαντας ἢ καὶ ἐποφείλοντας καὶ ἀπαιτουμένους χρυσίον ἢ πράγματα καὶ οὐκ ἔχοντας, ὅθεν τοῦτο διαλύσειαν, αἰτεῖν αὐτοὺς καθαρὰς ἀντιφωνήσεις ὑπὲρ αὐτῶν ὑπεισιέναι, καὶ ποτὲ μὲν αὐτὸ τοῦτο ἐν ὁμολογίαις συγγράφειν, ποτὲ δὲ διὰ τὴν ἐκ τοῦ συμβάλλοντος πίστιν καὶ ἀγράφως αὐτοῖς ἐντείλασθαι τοῦτο ποιεῖν, ἑαυτοὺς δὲ ταῖς ἐκείνων αἰτήσεσιν ἐνδιδόντας ὁρίζειν χρόνον ῥητὸν πρὸς τοὺς ἐνοχλοῦντας αὐτοῖς, ὥστε εἴσω τούτου πάντως τὸν ἀντιφωνητὴν καταθεῖναι τὸ ὄφλημα· ἑαυτοὺς δὲ ἐκείνοις ἀντιφωνεῖν, εἶτα τῆς προθεσμίας ἐνστάσης ἀπραγμόνως ποιεῖν τὸ ἱκανὸν τοῖς τὰς ἀντιφωνήσεις δεχομένοις, ἀναλαμβανόντων τῶν ὑπευθύνων ἴσως καὶ τὰς δανειακὰς συγγραφὰς καὶ τὰς ὁμολογίας τὰς αὐτῶν ἢ καὶ διαλύσεις λαμβανόντων, ὡς τὸ ἀσφαλὲς διὰ τῆς ἀντιφωνήσεως πεποιηκότων. πολλοὺς δὲ καὶ ἐπιτυχεῖν τινος βουληθέντας ἢ καὶ βουλομένους πράγματος ἐντείλασθαι αὐτοῖς ὑπὲρ αὐτῶν ἀντιφωνῆσαι χρημάτων τινῶν ἢ πραγμάτων δόσεις, καὶ τοῖς μὲν κατορθοῦσθαι τὸ σπουδαζόμενον, αὐτοὺς δὲ ἀμελητὶ κατατιθέναι τὸ χρυσίον ἢ τὰ πράγματα, καὶ ἁπλῶς οὕτω γίνεσθαι τὰς ἀντιφωνήσεις, οὐκ ἐντελλομένων αὐτῶν [καὶ] μὴ ἄλλως τὸ χρυσίον ἢ τὰ πράγματα καταβάλλειν, πρὶν ἂν ὁ τὴν ἀντιφώνησιν λαμβάνων ἀπόδειξιν τῶν χρημάτων ἢ τῶν πραγμάτων ποιήσαιτο ἢ κατάθοιτο ταῦτα εἰληφέναι. καὶ αὐτοὺς μὲν παρέχειν τὸ χρυσίον ἢ τὰ πράγματα, ὕστερον δὲ ἀμφισβητήσεις ἔχειν ἐκείνων ἀποδείξεις ζητούντων τοῦ τὸ χρυσίον ἢ τὰ πράγματα δεδόσθαι· πρᾶγμα παντοίως ἀμήχανον καὶ φοβερὸν αὐτοῖς ὑπάρχον, ὁμοίως μὲν τὸ παρῳχηκός, ὁμοίως δὲ τὸ ἐλπιζόμενον * * *, ὅπερ τῶν ἀδυνάτων ἐστίν. τίς γὰρ ἂν τῶν τὸ χρυσίον ἢ πράγματα ἀντιφωνηθέντων ἢ ἀντιφωνουμένων μὴ ἐπὶ τῷ ποιήσασθαι τῶν διδομένων ἀπόδειξιν ἢ κατάθεσιν ἐν ὑπομνήμασιν, ὡς ταῦτα εἴη λαβών, ἕλοιτο ἂν πρὸς τοῦτο ἐλθεῖν; πολλάκις δὲ αὐτοὺς ταλαιπωρουμένους καὶ ἐκχωρεῖν ἑτέροις τὰς ἀγωγάς, καὶ ἀντιτίθεσθαι ταῦτα οὐκ αὐτοῖς μόνοις ἐνάγουσιν, ἀλλὰ καὶ τοῖς τὰς ἀγωγὰς ἐκχωρηθεῖσιν ἢ ἐκχωρουμένοις. Καὶ ᾔτησαν ταύτης ἀπαλλαγῆναι τῆς δυσκολίας, καί, εἴπερ*

Edictum IX Graece tantum extat in M. — Epit. anon. Bodl. p. 224 Zach.

IX.

DE ARGENTARIORUM CONTRACTIBUS.

Imp. Iustinianus Aug. Triboniano praefecto urbis.

Praefatio. Commune collegii argentariorum, qui in hac magna urbe sunt, supplicavit potentiae nostrae, ut praeter cetera omnia, quae iis largiti sumus, etiam nunc alio modo sibi opitulemur. Docuerunt enim quosdam, qui debuerint aut etiam debeant, quando pecuniae aut res ab ipsis repetantur et non habeant, unde hoc solvant, ab ipsis petere, ut pura constituta pro ipsis subeant, et modo hoc ipsum in obligationibus conscribere, modo propter contrahentis fidem etiam ut sine scripto hoc faciant ipsis mandare, sese autem illorum petitionibus cedentes iis, qui illos premant, certum tempus constituere, intra quod constitutae pecuniae reus omnino debitum solvat; se vero illis spondere, deinde die fatali veniente nullo negotio iis qui constituta susceperunt satisfacere, recipientibus debitoribus fortasse et mutui syngraphas et confessiones suas, aut etiam apochas accipientibus, quod securitatem per constitutum fecerint. Multos vero, cum parare sibi rem aliquam voluerint aut velint, ipsis mandare, ut pro ipsis pecuniam aut rem aliquam se daturos constituant, et illis quidem quod quaesierint obtingere, ipsos vero indubitanter pecuniam aut res praebere, et simpliciter ita constituta fieri non mandantibus illis, ut non aliter pecuniam aut res solvant, priusquam qui constitutum accepit apocham pecuniae aut rerum fecerit aut eas se accepisse professus sit; et se quidem dare pecunias aut res, postea autem controversias habere illis apochas datae pecuniae vel rerum exigentibus. Quae res multimodis difficilis et formidabilis iis est, tam praeterita quam futura cavere, id quod fieri nequit. Quis enim eorum, quibus pecunia aut res constitutae fuerint vel constituantur, non ea condicione ut apocham faciat datorum vel depositionem in actis se haec accepisse, ad id velit venire? Saepe vero ipsos defatigatos etiam aliis cedere actiones, et haec non sibi solis actionem inferentibus opponi, verum etiam iis quibus actiones cessae sint aut cedantur. Et petierunt,

1 *subscr.* d. XV. k. oct. *M*] dat. XVII. kal. oct. ς ‖ 2 XXII pc. *Esc.*] XXV post basilio vc. conss. anno VI *M. Malui cum Zachariaeo sextum post Basilii consulatum annum in septimum mutare quam servato* VI. *post* XXII. *cum Bienero scribere* XXI. *Exemplar ad Eugenium scriptum anno* 540 *emissum esse e Pistoriensis subscr. concludere noli* ‖ *Post subscr. non servatur notitia de qua agitur* 771, 30. 43 ‖ 5 *περὶ ἀργυροπρατῶν anon. Bodl.* ‖ 6 *Tribonianum quaestorem sacri palatii fuisse constat, praef. urbi non constat: κυέστωρ Τριβουνιανὸς ἀπενεμήθη τοῖς ἀργυροπράταις anon. Bodl. in epit. c. VIII, unde κοαίστωρι· τὸ ἰσότυπον ἐπάρχῳ πόλεως mavult Zachariae* ‖ 14 *ἑαυτὸν M, corr. Agylaeus* ‖ 20 *καὶ del. Zachariae* ‖ 21 *ποιήσοιτο M, correxi* ‖ 24 *excidisse puto verbi gratia φυλάττεσθαι* ‖ *ὅτιπερ Zachariae* ‖ 25 *τῷ Zachariae*] *τὸ M*

1 *subscr. om. V; falsam exhibet Pist.* (dat. VIIII. k. iuñas caṕ. imp. dñ. iust. pp. cog. añ. XIIII iustino uiro clarissimo consule *i. e. a.* 540), *veram ad rubr. const. CXXII* (= *nov. CXXIX*) *delatam Escor. et T:* dat. XVII. kal. oct. (octub. *Esc.*) cp. (cap. T) imp. dni nri (ntri *Esc.*) iustiniani (iust. *Esc.*) pp. cog. (*desinit T*) añ XXII. pc.

ὅλως καθαρὰ γέγονεν ἢ γενήσεται ἡ ἐντολή, ὥστε τὸ χρυσίον ἢ τὰ πράγματα ῥητῆς εἴσω προθεσμίας καταβάλλειν, αἱρέσεως οὐδεμιᾶς προσκειμένης, ἅμα τῷ παρελθεῖν τὴν προθεσμίαν ἔνοχον τὸν ἐντειλάμενον καθεστάναι τῇ τοῦ χρέους ἐκτίσει αὐτοῖς τε καὶ τοῖς παρ' αὐτῶν ἐκχωρηθεῖσιν ἢ καὶ ἐκχωρουμένοις, μὴ μόνον εἰ τοῦτο ἐγγράφως ἐντειλάμενοι τύχοιεν, ἀλλὰ καὶ εἰ ἀγράφως ἅπαν τὸ πρᾶγμα πραχθείη.

CAPUT I.

Ἡμεῖς τοίνυν βοηθῆσαι τῷ πράγματι βουλόμενοι (μετὰ μέντοι πάσης ἰσότητος καὶ δικαιοσύνης, καὶ ὥστε τοῦ λοιποῦ πᾶσι τρόποις ἀσφαλῶς προϊέναι ταῦτα) θεσπίζομεν μὴ ἄλλως αὐτοὺς αἱρεῖσθαι τὰς ἀντιφωνήσεις ὑπεισιέναι, πρὶν ἂν ἔγγραφος αὐτοῖς περὶ τούτων γένηται ἐντολὴ ἅπαν τὸ πρᾶγμα, ὅπως ποτὲ πραχθῆναι δέοι, σαφῶς διορίζουσα, μηδὲ ἐκ τῶν καλῶν τούτων πίστεων εἰς ὄλεθρον προφανῆ καθαρῶς ἐμπίπτειν. εἰ δέ γε κατά τινα τρόπον ἔγγραφον μὲν μὴ γένοιτο, χρόνος δὲ ὁρισθείη, καὶ σιωπήσειεν ἐφ' ἅπαντα τὸν χρόνον ἐκεῖνος, ὑπὲρ οὗ τὰ τῆς ἀντιφωνήσεως γένοιτο, καὶ μὴ μέμψοιτο, διαδράμοι δὲ καὶ ὁ χρόνος, εἶτα μηδὲ κατὰ ἄλλην δίμηνον αὐτὸ τοῦτο ἐν μέμψει ποιήσεται, πάντως τὸν ἐντειλάμενον καταβαλεῖν τῷ ἀντιφωνήσαντι τὸ χρέος, ὅπερ ἂν ἀποδειχθείη κατὰ γνώμην αὐτοῦ παρά τινος τῶν ἀργύρου τραπέζης προεστώτων ἀντιπεφωνημένον, καὶ μὴ δύνασθαι μήτε αὐτοῖς μήτε τοῖς αὐτῶν κληρονόμοις ἢ τοῖς παρ' αὐτῶν ἐκχωρηθεῖσιν ἢ ἐκχωρουμένοις τὸν τοιοῦτον ἀντιτίθεσθαι λόγον, ἀλλ' ἐκεῖνο κρατεῖν, ὅπερ ἂν ἡ τῶν ἐντολῶν δείξειε πίστις, εἰ μὲν ἐν γράμμασιν αὗται προέλθοιεν, τοῦ δικάζοντος τοῖς γράμμασιν ἀκολουθοῦντος, εἰ δὲ ἄγραφον εἴη τὸ σύμφωνον, ταῖς ἐπὶ τούτῳ διδομέναις κατὰ τὸν νόμον ἀποδείξεσιν ἑπομένου. τούτων κρατούντων ἐπί τε τῶν ἤδη γενομένων κατὰ τοῦτον τὸν τρόπον ἐπί τε τῶν ἐσομένων ἀντιφωνήσεων.

CAPUT II.

Εἰ δὲ καὶ τις αὐτοῖς ὑπεσχέθη ἢ ὑποσχεθείη θεραπεία διὰ γραμμάτων ἢ καὶ γραμμάτων χωρίς, ἀπόδειξις δὲ αὐτάρκης καὶ νόμιμος δοθείη ἢ διὰ τῆς τῶν γραμμάτων ἀναγνώσεως ἢ διὰ τῆς ἐκ τῶν μαρτύρων πίστεως, καὶ ταύτην ἔχειν τὴν οἰκείαν ἰσχὺν βουλόμεθα καὶ ἀπαιτεῖσθαι τὸ συμπεφωνημένον παντελῶς μηδενὸς ἀντικειμένου νόμου, ὡς ἐχρῆν προῖκα ταῦτα ⟨πραχθῆναι⟩, ἀλλὰ μὴ ἐπὶ δόσει τινί, διὰ τὸ τὸν πάντα βίον αὐτῶν ἐκ τούτου συνίστασθαι καὶ τόκους αὐτοὺς τελεῖν καὶ στεγονόμια διδόναι, καὶ τῆς κοινῆς λυσιτελείας προβεβλῆσθαι, οὐχ ἵνα ζημιοῖντο οὐδὲ ἵνα παντοίως ἄτροφοι μείναιεν, ἀλλ' ἵνα ταύτην ἔχοιεν τῶν
1 οἰκείων πόνων παραμυθίαν. Εἰ μέντοι γε λογισμοὺς ἢ ἀντισυγγράφους ἢ αὐτογράφους πεποίηνται ἢ ποιήσοιντο ἢ αὐτοὶ πρός τινας τῶν αὐτοῖς συμβαλλόντων, ἢ ἐκεῖνοι πρὸς αὐτούς, ἐν οἷς ἡ εἰσκομιδὴ τῶν χρημάτων καὶ δαπάνη καταγέγραπται καὶ γράμματα φέροιτο αὐτοῦ τοῦ τῆς τραπέζης προεστηκότος τοῦ τε ὑπογραφέως αὐτοῦ, οὓς ἁρμαρίτας καλοῦσι, καὶ αὖθις τῶν συμβαλλόντων πρὸς αὐτούς, ἢ διὰ παντὸς ὑπὸ τῆς τοῦ συμβάλλοντος χειρὸς γεγραμμένους ἢ ὑπογραφὴν ἔχοντας, μὴ δύνασθαι τοὺς συμβάλλοντας τὴν μὲν εἰσκομιδὴν τῶν χρημάτων, ἣν οἱ ἀργυροπρᾶται καταγράφουσιν ἐν τοῖς ἀντισυγγράφοις ἢ αὐτογράφοις βρεβίοις, δέχεσθαι κἀντεῦθεν αὐτοὺς ἀπαιτεῖν, πρὸς δὲ τὴν τῆς ἐξόδου καταγραφὴν ἀντιλέγειν ὡς οὐ γενομένην, μηδὲ
2 αὖθις τοὺς ἀργυροτραπέζης προεστῶτας τὴν μὲν δαπάνην ἀπαιτεῖν, τὴν δὲ εἰσκομιδὴν μὴ δέχεσθαι. Ἀλλ' εἴπερ ἐκ τῶν ἑκατέρωθεν προκομιζομένων ἀντισυγγράφων λογοθεσίων ἢ αὐτογράφων μαρτυρηθείη ἥ τε τῆς

---

ut hac molestia liberarentur et si omnino purum mandatum factum sit aut fiat, ut pecuniam aut res intra certum tempus solvant, condicione nulla adiecta, ut simulatque praefinitum tempus elapsum sit, obnoxius mandator fiat debito solvendo et ipsis et quibus a se actiones cessae sint aut etiam cedantur, nec solum si hoc per litteras mandaverint, verum etiam si sine scripto totum negotium actum sit.

I. *Nos igitur succurrere rei volentes (cum omni tamen aequitate et iustitia, atque ut in posterum omnibus modis haec secare procedant), sancimus non aliter eos constituta subire velle, priusquam scriptum de his mandatum ipsis detur omnem rem quomodo fieri oporteat definiens, neque ex hac bona fide in evidens exitium aperte incidere. Si vero aliquo modo scriptum quidem factum non sit, tempus autem determinatum sit, et tacuerit per omne tempus ille, pro quo constitutum factum est, neque litem moverit, praetereat vero etiam tempus, deinde ne intra alios quidem duos menses hoc ipsum in querelam deduxerit, omnibus modis mandatorem solvere constituenti debitum, quod probetur ex ipsius voluntate ab aliquo argentariae mensae praeposito constitutum esse, ac neque ipsis neque ipsorum heredibus, aut quibus cessae ab ipsis sint vel cedantur actiones, eiusmodi rationem opponi posse, sed illud vincere, quod mandatorum ostenderit fides, si in litteris processerint, litteras iudice sequente, sin autem non scriptus contractus sit, probationes ea de re secundum leges prolatas spectante. Atque haec valeant et in constitutis iam factis hoc modo et in futuris.*

II. *Si quod vero etiam emolumentum eis in scriptis aut sine scriptis promissum fuerit aut promittatur, probatio autem sufficiens et legitima detur aut scriptorum lectione aut testium fide, etiam hoc suam vim habere volumus exigique quod pacto convenerit, nulla prorsus lege obsistente, quasi id gratis et non pro mercede aliqua fieri oporteat, propterea quod omnis eorum vita in hoc consistit, ut usuras pendant et pensiones pro aedibus dent et communi utilitati prospiciant, non ut damno afficiantur*
1 *neque ut omni victu destituantur, sed ut hoc habeant laborum suorum solacium. Si tamen ratiocinia sive antisyngrapha sive autographa faciant aut fecerint aut ipsi illis, qui cum ipsis contrahunt, aut illi ipsis, in quibus pecunia accepta et expensa conscripta est et scriptura inest ipsius mensae praepositi et scribae eius, quos armaritas vocant, et rursus eorum, qui cum ipsis contrahunt, aut omnino contrahentis manu scripta aut subscriptionem habentia, non poterunt contrahentes pecuniam quidem acceptam, quam argentarii in antisyngraphis vel autographis brevibus describunt, agnoscere indeque ab eis exigere, expensae vero scripturae contradicere, tamquam facta non sit, neque rursus argentariae mensae praepositi*
2 *expensam quidem exigere, acceptum vero non agnoscere. Verum si ex antisyngraphis ratiociniis vel autographis ab utraque parte prolatis demonstretur litterarum tam de acceptis quam de expensis fides,*

---

2 προκειμένης *M, corr. Kroll* ‖ 3 ἐκχωρημένοις *M* ‖ 8 καθαρῶς *corruptum existimo* ‖ 11 μέψει *M* ‖ 13 μηδὲ — μηδὲ *M, corr. Kroll* ‖ καὶ μὴ ἔχειν αὐτὸν ἢ κληρονόμους αὐτοῦ παραγραφὴν κατὰ τῶν ἀντιφωνησάντων ἢ ἐκχωρουμένων τὰς ἐντεῦθεν ἀγωγάς *anon. Bodl.* ‖ 21 πραχθῆναι *ex anon. Bodl. add Zachariae* ‖ 23 μείνοιεν *M, correxi* ‖ 26 φέροιτο *Kroll*] φέροι *M* ‖ τε *Zachariae*] γε *M* ‖ 27 ἁρμαρίτας *anon. Bodl.* (ἢ τοῦ ἁρμαρίτου)] σαμαρείτας *M* ‖ ἢ τῶν αὐτοῖς συναλλαξάντων *anon. Bodl.* ‖ 28 συμβάλοντος *M* ‖ συμβάλοντας *M* (οἱ συναλλάξαντες *epit.*) ‖ 32 ἢ λογοθεσίων *perperam vulg.* ‖ ἤ τε — ἤ τε M^b] εἴτε — εἴτε M^a

εἰσκομιδῆς ἥ τε τῆς δαπάνης τῶν γραμμάτων πίστις, πάντως ἑκάτερον εἶναι πιστόν, καὶ μὴ τὸ μὲν κατ' αὐτῶν κρατεῖν, τὸ δὲ ὑπὲρ αὐτῶν ἄκυρον εἶναι, ἀλλὰ ἀπαιτεῖσθαι, ὅσα τὰ λογοθέσια δείξειε, πλὴν εἰ μὴ θάτερον ἢ ἑκάτερον μέρος πλάνην ψήφου ἢ περὶ τόκον βλάβην ὑπομεμενηκέναι δείξειεν. εἰ γάρ τι τοιοῦτον προφανῶς δειχθείη, τῆς κατὰ νόμον διορθώσεως τοῦτο ἀξιοῦσθαι θεσπίζομεν, ὥστε ἕκαστον τοῦ δικαίου καὶ τῆς ἰσότητος ἀπολαύειν.

CAPUT III.

Καὶ τοῦτο δὲ ἐδίδαξαν, ὥς τινες ἐξ αὐτῶν ὁμολογίας παρὰ πλειόνων κομισάμενοι καὶ ταύτας ἀλληλεγγύως ἢ κατὰ μανδάτον, εἶτα τὸ πλεῖστον τοῦ χρέους εἰληφότες, καὶ ὀλίγου τινὸς ὄντος τοῦ ὑπολελειμμένου, ἐπὶ τῷ τοῦ χρέους ἐλλείμματι ἔξωθεν παρ' ἑνὸς αὐτῶν ἢ δύο λαβόντες ὁμολογίας, ὡς εἴσω ῥητοῦ χρόνου ταῦτα καταθήσουσι, διαλύσεις τυχὸν ἢ ὁμολογίας ἔθεντο πρὸς ἅπαντας, συμβέβηκε δὲ ἢ τὸν ἕνα ἢ καὶ πλείονας τῶν πεποιηκότων τὴν τῆς λοιπάδος ὁμολογίαν τελευτῆσαι καὶ τοὺς κληρονόμους μὴ αἱρεῖσθαι τὸ παρ' αὐτοῦ ἢ αὐτῶν διομολογηθὲν χρυσίον δοῦναι. θεσπίζομεν οὖν, εἰ ταῦτα οὕτως ἔχει, τὸ ταῖς ὁμολογίαις περιεχόμενον χρυσίον καὶ παρὰ τοῦ τελευτήσαντος ἢ τῶν τελευτησάντων διομολογηθὲν ἐν γράμμασι τοὺς αὐτῶν εἰσπράττεσθαι κληρονόμους μετὰ τοῦ συμπεφωνημένου τόκου.

CAPUT IV.

Εἰ δέ τινες ἐδανείσαντο ἢ δανείσοιντο παρ' αὐτῶν ἐνέχυρα δόντες, εἶτα ἐν ταῖς δανειακαῖς συγγραφαῖς ἐπέτρεψαν ἢ ἐπιτρέψαιεν αὐτοῖς ἐκ διαπράσεως τῶν ἐνεχύρων πίστει αὐτῶν γινομένης τὸ τούτων τίμημα εἰς τὸ χρέος λογίζεσθαι, οἱ δὲ τοῦτο πράξαιεν, μὴ πολυπραγμονεῖσθαι αὐτοὺς μηδὲ πράγματα ὑπὲρ τούτων ἔχειν, ἀλλ' ὀμνύντας ὁπόσης τιμῆς τὰ ἐνέχυρα πεπράκασι πιστεύεσθαι, καὶ ἀρκεῖν τοῦτο αὐτοῖς πρὸς πᾶσαν ἀγνωμοσύνης ἀναίρεσιν. Εἰ δέ τις ἀγράφως δανειζόμενος ἐνέχυρα δοίη ἢ σφραγίσας αὐτὰ ἢ καὶ σφραγίδων χωρίς, ἀνάγκην ἔχειν τὸν δανεισάμενον ἢ λαμβάνειν τὰ ἐνέχυρα ἐπιγινώσκοντα τὰς σφραγῖδας ἢ καὶ αὐτὰ μὴ ῥαδιουργηθέντα καὶ ἀποπληροῦν τό τε κεφάλαιον τόν τε συμφωνηθέντα τόκον, ἢ εἴπερ οὐκ ἔχει χρυσίον ὁ ὀφειλέτης, εἰς τὴν ἀξίαν διατίμησιν ταῦτα καταλιμπάνειν καὶ τὸ ὑπόλοιπον πληροῦν, οὐ δυνάμενον λέγειν, ὡς δεῖ αὐτὸν ἀρκεσθῆναι τοῖς ἐνεχύροις, κἂν εἰ ἐλάττονος εἶεν ποσότητος, ἀλλ' ἐκ τρόπου παντὸς πληροῦν πᾶν τὸ χρέος, ὅσον ἂν μετὰ τοῦ συμφωνηθέντος λογισθείη τόκου. εἰ δὲ καὶ ὁρισθείη χρόνος ἐπὶ τῷ δανείσματι ἐνεχύρων ἅπαξ δεδομένων ἢ ἐσφραγισμένων ἢ ἀσφραγίστων, εἴσω δὲ τοῦ χρόνου μὴ γένηται τὸ ἱκανόν, ἄλλος δὲ τοσοῦτος παρέλθῃ χρόνος, ἐξεῖναι αὐτοὺς ἀκριβοῦς διατιμήσεως γενομένης παρόντων καὶ ταβουλαρίων καὶ τῶν θείων προκειμένων λογίων καὶ διατιμητῶν παραλαμβανομένων, διατιμᾶσθαι ταῦτα καὶ ἑαυτοῖς λογίζεσθαι, εἴτε ἐξαρκεῖ εἰς τὸ χρέος εἴτε καὶ εἰς μέρος τοῦ χρέους.

CAPUT V.

Καὶ τοῦτο μέντοι ἰάσασθαι ᾔτουν, ὥστε διὰ τὸ τὸν βίον αὐτοῖς ἐν τῷ δανείζειν καὶ δανείζεσθαι καθεστάναι καὶ ἀντιφωνεῖν ὑπὲρ ἑτέρων καὶ τόκους τελεῖν, μὴ ἀντιτίθεσθαι αὐτοῖς τὴν ἡμετέραν διάταξιν ἐν τοῖς δανείσμασιν, ἣν ἐγράψαμεν μηδενὶ συγχωροῦντες ὑπὲρ τὸ διπλάσιον κομίζεσθαί τι, εἴπερ τοσαύτην καταβάλοι ποσότητα, ὅσην τό τε ἀρχαῖον οἵ τε τόκοι πληροῦσιν. ἡμεῖς τοίνυν τὴν μὲν διάταξιν εἰς τὸ ἑξῆς παραβαθῆναι παντελῶς οὐ βουλόμεθα, τὸ δὲ παρελθόν, ὅπερ οὐκέτι δέχεται παντελῶς ἐπιβουλὴν οὐδεμίαν,

---

utrumque omnino ratum sit, neque quod contra ipsos est valebit, quod vero pro ipsis est irritum erit, sed exigatur quantum ratiocinia monstrant, nisi alterutra aut utraque pars se errorem calculi aut damnum in usuris perpessam demonstraverit. Si quid enim tale evidenter ostendatur, id legitima emendatione affici sancimus, ut unusquisque iustitia et aequitate fruatur.

III. *Hoc quoque nos docuerunt, quosdam ex ipsis promissionibus a pluribus acceptis iisque ex mutua fideiussione aut ex mandato, deinde plurima debiti parte accepta, et exigua quadam relicta, propter debiti reliquum seorsum ab uno aut duobus illorum promissione accepta, se intra certum tempus ista persoluturos esse, apochas forte aut promissiones omnibus conficere, accidisse vero ut aut unus aut plures eorum, qui reliqui obligationem fecissent, obirent, et heredes pecuniam ab illo aut illis promissam exsolvere nollent. Sancimus igitur, si haec ita se habeant, pecuniam promissionibus comprehensam et a defuncto aut defunctis in scripto professam ab heredibus eorum cum stipulatis usuris exigi.*

IV. *Si qui autem datis pignoribus ab eis mutuati fuerint aut mutuentur, deinde in mutui syngraphis permiserint aut permittant eis, ut venditione pignorum sub ipsorum fide facta eorum pretium in debitum imputetur, illi vero hoc fecerint, non molestari eos neque propter ea negotiis implicari, sed iurantibus, quanti pretii pignora vendiderint, credi, idque iis ad omnem improbitatem tollendam satis esse. Si quis vero sine scripto mutuatus pignora det aut obsignata aut etiam sine sigillis, necesse habebit qui mutuatus est, aut pignora recipere agnoscens sigilla aut etiam ipsa non laesa, et explere et sortem et promissas usuras, aut si pecuniam non habeat debitor, ad iustam aestimationem illa relinquere et reliquum supplere, neque dicere poterit illum pignoribus, quamquam minoris sint quantitatis, contentum esse oportere, sed omni modo debitum totum explere, quantum cum promissis usuris computatum erit. Sin autem etiam tempus mutuo praefinitum sit datis semel pignoribus sive obsignatis sive non obsignatis, intra id tempus vero satis non factum sit, alterumque tantum elabatur tempus, liceat ipsis, accurata aestimatione facta praesentibus et tabulariis et divinis eloquiis propositis et aestimatoribus adhibitis ea aestimare et sibi imputare, sive debitum explent sive etiam partem debiti.*

V. *Sed hoc quoque ut sanaretur petierunt, ne quoniam victus ipsis in mutuo et dando et accipiendo consistat et pro aliis constituendo et usuras pendendo, ipsis in mutuis dandis nostra opponatur constitutio, quam scripsimus nemini ultra duplum accipere quicquam permittentes, si tantam quantitatem solverit creditor quantam et sors et usurae efficiant. Nos igitur in posterum eam legem violari omnino*

---

1 τῶν γραμμάτων *fortasse non sanum* ‖ 4 ἕκαστον] ἐπ' ἀμφοτέρων *anon. Bodl.* ‖ 8 ἐλείμματι *M* ‖ 15 ἐπιτρέψαι ἐν *M* ‖ αὐτοῖς *Zachariae*] τοῖς *M* (ἐκ διαπράσεως *tuetur epit.*) ‖ λαβεῖν τὸ τίμημα καὶ λογίσασθαι εἰς τὸ χρέος *anon. Bodl.* ‖ 18 ἐγγράφως *anon. Bodl.* ‖ 20 σφραγισθέντα *cum Agylaeo vulg.* ‖ 25 *an* αὐτοῖς ‖ 29 διάταξιν] *Cod.* 4, 32, 27. *Cf. nov. CXXI. CXXXVIII*

τοῦτο αὐτοῖς θεραπεύοντες θεσπίζομεν, ἐπὶ τῶν ταῖς ἀληθείαις ἀργυροπρατικῶν συναλλαγμάτων τῶν μέχρι τήμερον πραχθέντων ἄδειαν αὐτοῖς εἶναι, καὶ εἰ τύχοιεν τόκοι ὑπὲρ τὸ διπλάσιον ἐπὶ τούτοις τοῖς χρέεσι δεδομένοι, εἰσπράττειν αὐτοὺς τὰ ὀφειλόμενα μετὰ τοῦ ὡρισμένου τόκου, οὐκ ἀναγκαζομένους ὑπολογίζεσθαι οὔτε εἰς τόκον οὔτε εἰς ἀρχαῖον ὄφλημα τὰ ἤδη ὑπὲρ τὸ κεφάλαιον καταβεβλημένα· καὶ μὴ ἀντικεῖσθαι αὐτοῖς ἐπὶ τούτῳ καὶ μόνῳ τὴν ἡμετέραν διάταξιν τὴν τοῦ διπλασίονος, ἀλλὰ κατὰ τὴν φύσιν τῶν συμβολαίων ταῦτα αὐτοὺς ἀπαιτεῖν, ἀλλ' οὐδὲ αὐτῶν ἀποχρῆσθαι δυναμένων πρὸς τοὺς ἤδη συμβεβληκότας αὐτοῖς τῇ παρ' ἡμῶν τεθείσῃ διατάξει, οὐδὲ δυναμένων λογίζεσθαι τοὺς ἤδη καταβεβλημένους τόκους ἢ εἰς τὸ διπλοῦν τοῦ τόκου ἢ εἰς τὸ ἀρχαῖον ὄφλημα.

CAPUT VI.

Ἐπειδὴ δὲ συνεχωρήσαμεν χωρὶς ἐνόπλου στρατείας τοῖς ἀργύρου τραπέζης προεστῶσιν ἐπὶ ταύτης τῆς εὐδαίμονος πόλεως τὰς ἄλλας πάσας μετιέναι στρατείας, εἶτα ἐκεῖνοι δανείσματα πράξαντες ἢ καὶ πράττοντες τόκον ἐπηρώτησαν τὸν ἐκ διμοίρου μέρους, ὁποῖον τοῖς ἀργυροπράταις ἐφήκαμεν, οἱ δὲ ἀγνώμονες ταῦτα πάντα ἀντιτιθεῖεν αὐτοῖς τὰς στρατείας λέγοντες, προσήκειν αὐτοὺς οὐ τὸν ἀργυροπράταις ἀλλὰ τὸν στρατευομένοις πρέποντα τόκον κομίζεσθαι, ταύτην αὐτῶν τὴν ἄλογον καὶ ἀγνωμονεστάτην ἀντίθησιν παντελῶς σχολάζειν θεσπίζομεν καὶ τὰ συμπεφωνημένα ἢ καὶ συμφωνούμενα κρατεῖν.
1 *Ἀλλ' οὐδὲ ⟨ἐκεῖνο⟩ ἡμῖν ἀρέσκει, περὶ τῶν ἀργυροπρατικῶν συναλλαγμάτων αἰτεῖν τινας ἢ παντελῶς μὴ διδόναι κεφάλαια ἢ τόκους ἢ τὸ ἔτι τούτων χεῖρον λόγῳ, ὥστε νομίμων τόκων διδομένων εἰς τὸ ἀρχαῖον λογίζεσθαι· καὶ τοῦτο γὰρ ἐπὶ τῶν συναλλαγμάτων τῶν πρὸς ἀργυροπράτας γενομένων ἢ γινομένων κρατεῖν βουλόμεθα*

CAPUT VII.

*Ἓν δὲ δὴ καὶ τοῦτο τῶν αἰτουμένων ἐστὶ παρ' αὐτῶν, ὅτιπερ πολλάκις τινὲς τῶν ὑπευθύνων αὐτοῖς καθεστώτων, εἶτα ἑτέρους ἔχοντες ὑπευθύνους, οὐχ ἑαυτοὺς ἐκεῖθεν πληροῦσιν, ἀλλὰ παρασκευάζουσι ταῖς αὐτῶν γαμεταῖς προφάσει προικὸς ἢ παραφέρνων ἢ χρεῶν δῆθεν ἄλλων τοῦτο καταβάλλειν καὶ διαλύσεις παρ' αὐτῶν ἤγουν ἀποδείξεις κομίζεσθαι, ἐκείνων δὲ εἰς ἐλάττωσιν ἐλθόντων ἢ ἐρχομένων ἢ καὶ τελευτησάντων ἢ καὶ μετὰ ταῦτα τελευτώντων, εἶτα αὐτῶν βουλομένων τὸ χρέος ἀπολαμβάνειν τοῦτο, τῶν γαμετῶν ἐκεῖνα μὲν λεληθότως κομισαμένων ἢ καὶ μετὰ ταῦτα κομιζομένων, ὁλόκληρα δὲ ἀντιτιθεισῶν αὐτοῖς τὰ ὀφλήματα, ὥστε ἐντεῦθεν αὐτοῖς διαπίπτειν τὰ τῆς ἐλπίδος. καὶ ᾔτησαν, εἴ τι τοιοῦτον γέγονεν ἢ μετὰ ταῦτα ὡς εἰκὸς γενήσεται, ἀνάγκην ἔχειν τοὺς τὰς διαλύσεις παρὰ τῶν γυναικῶν κομιζομένους ἢ τὰς ἀπαλλαγὰς ἢ εἴ τι συμβόλαιον γέγονεν ἢ γενήσεται ὅλως, τοῦτο προκομίζειν * * * καὶ κληρονόμων αὐτῶν εἰς ἔλεγχον τῶν γενομένων, ὥστε μὴ τὰς μὲν γαμετὰς καὶ μὴ ὀφειλομένας λαβεῖν, [καὶ] αὐτοὺς δὲ καὶ ὀφειλομένους ἀποστερηθῆναι. θεσπίζομεν, εἴ τι τοιοῦτο γέγονεν ἢ γενήσεται, ἀνάγκην μὲν ἔχειν αὐτοὺς προκομίζειν τὰ συμβόλαια, βλάβης μέντοι πάσης χωρίς, καὶ οὐ δυναμένων αὐτῶν ἐκ τῆς προκομιδῆς οὐδεμίαν ὑπομένειν ζημίαν (μεμνήμεθα γὰρ τῆς ἡμετέρας διατάξεως, ἥπερ τὰς ἠναγκασμένας τῶν δικαιωμάτων προκομιδὰς ἀβλαβεῖς βούλεται γίνεσθαι τοῖς προκομίζουσιν), ἀλλ' ἐκείνους μὲν τὰ συμβόλαια προκομίζειν καὶ αὖθις ἀναλαμβάνειν, εἰ δέ τινα ἐντεῦθεν ὄνησιν ἔχειν δυνηθεῖεν οἱ τὴν προκομιδὴν ἀναγκάσαντες γενέσθαι πρὸς τὰς*

---

nolumus, quod vero praecessit, quia non iam ullam omnino recipit machinam, hoc ipsis emendantes sancimus, ut in veris contractibus argentariorum ad hunc diem factis facultas iis sit, etiamsi usurae supra duplum pro his debitis datae sint, exigendi debita cum constitutis usuris, non coactis imputare neque in usuras neque in antiquum debitum, quae supra sortem iam soluta sunt, et in hoc solo eis nostra de duplo constitutio non obstet, sed secundum contractuum naturam ea exigant; sed ita ut ne ipsi quidem adversus eos, qui cum ipsis iam contraxerunt, nostra constitutione abutantur, neque imputare possint solutas iam usuras aut in duplum usurarum aut in antiquum debitum.

VI. *Quoniam vero permisimus argentariae mensae praepositis in hac felice urbe excepta armata militia omnes alias militias gerere, deinde illi, cum mutuum dederunt aut etiam dant, besses usuras, quantas argentariis concessimus, stipulati sunt, improbi autem opponunt ipsis militias, dicentes aequum esse eos non argentariis, sed militantibus convenientes usuras capere, hanc eorum absurdam et improbissimam obiectionem omnino quiescere iubemus et quae pacto convenerint aut etiam conveniant obtinere.*
1 *Sed ne illud quidem nobis placet, quod de argentariorum contractibus nonnulli postulant, ut omnino non dent aut sortes aut usuras, vel, quod hoc etiam peius est, ut quae legitimae usurae dantur sorti imputentur. Nam hoc quoque in contractibus, qui cum argentariis initi sunt aut ineuntur, obtinere volumus.*

VII. *Unum vero etiam hoc ex eorum petitis est, quod saepe aliqui eorum, qui ipsis obnoxii sunt aliosque rursus obnoxios habent, non sibi inde satisfaciunt, sed efficiunt, ut suis uxoribus praetextu dotis vel paraphernorum vel aliorum debitorum hoc solvant et ab iis apochas sive solutionis probationes accipiant; cum autem illi ad inopiam devenerint aut deveniant vel etiam mortui sint aut postea moriantur, ipsique debitum hoc recuperare velint, uxoribus, licet illa clam acceperint aut postea accepturae sint, integra tamen ipsis debita opponentibus, ut inde ipsorum spes concidat. Et petierunt, ut, si quid eiusmodi factum sit aut posthac forte fiat, necesse habeant, qui apochas a mulieribus acceperint aut liberationes, aut si quod omnino documentum factum sit aut fiat, id proferre sibi et heredibus suis ad arguenda ea, quae gesta sunt, ne uxores, quibus nihil debetur, accipiant, ipsi vero, quibus debetur, fraudentur. Sancimus ut, si tale quid factum sit aut fiat, cogantur quidem illi instrumenta proferre, sine omni tamen damno, et ut nullum dispendium ex prolatione sustinere possint (meminimus enim nostrae constitutionis, quae coactas documentorum editiones innoxias proferentibus esse vult), sed illi quidem instrumenta proferant et rursus recipiant; si quem autem inde fructum percipere possint, qui editionem*

---

3 *ἀναγκαζομένων M, corr. Kroll* ‖ 8 *καὶ μερικαὶ τῶν τόκων καταβολαὶ φθάσασαι τὸ διπλοῦν τοῦ χρέους σβεννύουσιν αὐτό add. anon. Bodl. (ex nov. CXXI)* ‖ 11 *cf. Cod. 4, 32, 26 § 2* ‖ *εἰ δὲ M; malim οἱ δὲ ἀγνωμονέστατα πάντῃ vel aliquid simile; κατὰ πάντα Osenbrüggen* ‖ 14 *ἐκεῖνο add. Kroll* ‖ 15 *ἀρέσκοι M* ‖ 22 *post χρέος excidisse verbi gratia ἀπαιτεῖν οὐκ putat Zachariae; fortasse tolerabile est anacoluthon* ‖ 26 *possis ⟨ὑπὲρ αὐτῶν ἢ⟩ καὶ (cf. ad 32); αὐτοῖς καὶ κληρονόμοις αὐτῶν Zachariae* ‖ 27 *καὶ del. Kroll* ‖ 28 *οὖν excidisse verisimile* ‖ 29 *αὐτῶν M^b] αὐτῆς M^a* ‖ 30 *διατάξεως] Cod. 4, 21, 22* ‖ 31 *ἀναλαμβάνειν ex anon. Bodl. Kroll] ἀντιλαμβάνειν M* ‖ 32 *εἴτε ἐντεῦθεν ὁ ἀργυροπράτης ὀφείληται (scr. ὠφελεῖται) ἢ οἱ κληρονόμοι αὐτοῦ anon. Bodl.*

γυναῖκας, ταύτην παρ' αὐτῶν κατὰ τὸν νόμον εὑρίσκειν, οὐδὲν παντελῶς τῶν προκομισάντων βλαβῆναι διὰ 1 τὴν προκομιδὴν συγχωρουμένων. Εἰ δὲ ἀντισυγγράφους ἔθεντο πρός τινας ὁμολογίας ἢ διαλύσεις ἢ καὶ οἱασοῦν συνθήκας ἢ καὶ μετὰ ταῦτα ποιήσαιεν, καὶ αἱ παρ' αὐτοῖς κείμεναι κατὰ διαφόρους τρόπους ἀπώλοντο, ἀναγκάζεσθαι τοὺς ἔχοντας τὰ ἀντισύγγραφα προκομίζειν ἢ ὅρκον παρέχειν, ὡς οὐδὲν τοιοῦτον ἔχουσιν οὐδὲ προκομίσαι δυνατοὶ καθεστήκασιν. εἰ γὰρ τοῦτον τὸν ὅρκον ἐν ὑπομνήμασι παράσχοιεν, αὐτοὺς οὐ χρὴ περαιτέρω πολυπραγμονεῖσθαι. οὐδεὶς δὲ ὑπερβήσεται τὸ μέτρον τῆς ἡμετέρας διατάξεως προφάσει σπορτούλων ἢ δικαστικῶν δαπανημάτων, τὴν ποινὴν εὐλαβούμενος τὴν ἐπικειμένην τοῖς τὰ τοιαῦτα πράττουσιν.

CAPUT VIII.

Ἐπεὶ δὲ ἀρχόμενοι τῶν δεήσεων ᾔτησαν, ὥστε καὶ τὴν σὴν ὑπεροχὴν προνοεῖν αὐτῶν καὶ ἀκροᾶσθαι τῶν ὑποθέσεων τῶν ἐπαγομένων αὐτοῖς, καὶ εἴ τινας ἐνόχους ἔχουσιν ἢ ἕτεροι [πρὸς] αὐτούς, τούτων ἀκούειν κατὰ τὸ τοῦ ἰδικοῦ δικαστοῦ σχῆμα, διὰ τὴν περὶ τοὺς νόμους ἀκρίβειαν καὶ τὴν τοῦ δικαίου τήρησιν καὶ τὸ τρόπους ἐξευρίσκειν ῥᾳδίως, δι' ὧν ἔξεστι καὶ τὰ σφόδρα δοκοῦντα δύσκολά τε καὶ ἑτέροις οὐκ ἐφικτὰ διαλύειν, θεσπίζομεν, κατὰ τὰ παρ' ἡμῶν θεσπισθέντα καὶ ἀκροᾶσθαι αὐτῶν κατὰ τὸ τοῦ ἰδικοῦ δικαστοῦ σχῆμα, ἐναγόντων τε καὶ ἐναγομένων, καὶ τὰ παρῳχηκότα διαθεῖναι κατὰ τόνδε τὸν νόμον, καὶ καθάπερ ἂν ὀρθῶς ἔχειν συνίδοις, καὶ τοῦ μέλλοντος προνοεῖν, ὥστε νενομισμένην τινὰ καὶ πρέπουσαν βοήθειαν παρ' ἡμῶν αὐτοῖς ἐπιδοθῆναι. δεῖ γὰρ τοὺς ἐνόχους γινομένους ὑπὲρ ἁπάντων καὶ χρησίμους ἑκάστῳ φαίνεσθαι σπεύδοντας καὶ ἐξαιρέτου τινὸς ἀπολαῦσαι βοηθείας. πάντων δηλαδὴ τῶν τε νῦν τῶν τε πρώην πεπορισμένων αὐτοῖς ἢ ἐξ ἡμετέρων νόμων ἢ ἐκ θείων πραγματικῶν τύπων, ἀκεραίων φυλαττομένων, καὶ χώραν ἐχόντων ἐπί τε τῶν προγεγενημένων φάκτων ἐπί τε τῶν μετὰ ταῦτα γενησομένων.

⟨Ἐπίλογος.⟩ Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα νόμου ἥ τε σὴ ἐνδοξότης καὶ πᾶς δικαστὴς ἕτερος τῆς ἡμετέρας πολιτείας βέβαια φυλαξάτω.

Ι

ΠΕΡΙ ΤΑΞΕΩΤΩΝ.

⟨Προοίμιον.⟩ Τὴν τῶν ἐπιχωρίων ταξεωτῶν ἐπιβουλήν, ἣν περὶ τὸ δημόσιον ἔχουσιν, ἐξ αὐτῶν πολλάκις ἔγνωμεν τῶν πραγμάτων.

CAPUT I.

*Ἐπειδὴ τοίνυν ἐδιδάχθημεν καὶ τοῦτο ἓν εἶναι τῆς αὐτῶν θρασύτητος, τὸ τὰ δημόσια μὲν ἐν χερσὶ λαμβάνειν, ἔσω δὲ τῶν ἱερῶν χωρίων ἑαυτοὺς κατακρύπτειν καὶ οἴεσθαι ταύτῃ διαδιδράσκειν τὰς ἐφ' αἷς εὐθυνθῆναι δίκαιοι καθεστᾶσι ποινάς, θεσπίζομεν * * * τὴν σὴν ὑπεροχήν (τοῦτο ὅπερ δὴ καὶ τοῖς θεοφι-*

Edictum X Graece tantum extat in M.

---

adversus mulieres fieri coegerint, hunc secundum legem ex iis sentiant, ita ut nullo prorsus damno, qui 1 protulerint, ex prolatione affici concedantur. Sin autem antisyngraphas ad aliquos confessiones vel liberationes vel quaelibet pacta exposuerint aut etiam posthac exponant, et quae apud ipsos manserunt variis modis perierint, eos qui antisyngrapha habent, ea proferre aut iusiurandum dare se nihil eiusmodi habere aut proferre posse. Si enim hoc iusiurandum apud acta praestiterint, non ulterius eos molestia affici oportet. Nemo vero excedet nostrae constitutionis modum sub praetextu sportularum vel iudicialium expensarum, poenam veritus, quae talia committentibus imminet.

VIII. *Quoniam vero in precum exordio petierunt, ut etiam tua excellentia sibi provideat et lites ipsis illatas audiat, et si quos obligatos habeant aut alii ipsos, his sub forma specialis iudicis audientiam praebeat, propter subtilem legum cognitionem et iusti observationem et facilem rationum inventionem, quibus quae valde difficilia videntur et ab aliis non inveniuntur dissolvi queant, sancimus, ut secundum ea, quae a nobis constituta sunt, et audias eos sive actores sunt sive rei in specialis iudicis modum, et praeterita secundum hanc legem componas, et quemadmodum aequum tibi videbitur, etiam futuris curam adhibeas, ut legitimum quoddam ac conveniens a nobis eis tribuatur auxilium. Aequum est enim eos, qui pro omnibus se obstringunt omnibusque utiles se exhibere student, etiam eximio aliquo frui auxilio; omnibus videlicet, quae et hoc tempore et olim aut nostris legibus aut sacris pragmaticis formis concessa iis sunt, incolumibus servatis, et in iis, quae antea facta sunt et quae posthac fient, locum habentibus.*

Epilogus. Quae igitur nobis placuerunt ac per hanc sacram pragmaticam declarantur legem, et gloria tua et quilibet alius reipublicae nostrae iudex firma conservet.

X.

DE COHORTALIBUS.

Praefatio. Provincialium cohortalium dolum, quem circa fiscum habent, ex ipsis saepe rebus cognovimus.

I. *Quoniam igitur etiam hoc unum ipsorum audaciae caput esse edocti sumus, quod fiscalia quidem in manus accipiunt, sed intra sacra loca se occultant et videntur sibi hac ratione poenas, quibus digni sunt qui castigentur, effugere, sancimus, (id quod etiam dei amantissimis provinciarum episcopis scripsi-*

---

1 *λαβῆναι M* ‖ 5 *οὔτε M, correxi* ‖ 6 *διατάξεως*] *Cod.* 3, 2, 5 ‖ 9 *πρὸς del. Agylaeus* ‖ 12 *θεσπίζομέν σε Zachariae, fort. pro αὐτῶν αὐτὴν legendum* ‖ 16 *νῦν τῶν Agylaeus*] *ναυτῶν M* ‖ 20 *data est const. certe ante Triboniani mortem* (*a.* 545); *recentiorem const. CXXXVI* (*k. April. a.* 536) *putat Zachariae, quod tum ad comitem sacrarum largitionum pertinuerint argentariorum causae. Quod parum certum esse vides ex ed. VII c.* 6 ‖ 23 *ταξεωτῶν Agylaeus*] *βουλευτῶν M* ‖ 26 *malim ὑφ' αἷς* ‖ *excidisse putaverim aliquid eiusmodi: τῷδε τῷ θείῳ τύπῳ χρώμενοι πρός. Post ὑπεροχὴν supplet Zachariae προστάξεσι χρῆσθαι κατά.*

*λεστάτοις τῶν ἐπαρχιῶν ἐπισκόποις ἐγράψαμεν), ὥστε εἴ τινες αὐτῶν προσφύγοιεν εἰς τοὺς θείους περιβόλους, ἄδειαν εἶναι τῇ σῇ ὑπεροχῇ τούτους προστάττειν ἔξω γίνεσθαι τῆς ἐπαρχίας ἐκείνης εἶναί τε ἐν ᾧπερ ἂν βουληθείης τόπῳ. τούτου δὲ προσταχθέντος ἀνάγκην ἔχειν τοὺς θεοφιλεστάτους ἐπισκόπους ἔξω καθιστᾶν αὐτοὺς τῶν ἱερῶν χωρίων, τὸν καλούμενον λαμβάνοντας λόγον, ὅτιπερ ἐν ἐκείνοις τοῖς τόποις, ἐν οἷς ἀπελθεῖν * * * * αὐτοὺς τοὺς δημοσιεύοντας ἄγειν ἐπὶ τοὺς εἰρημένους τόπους χωρὶς τῆς οἱασοῦν δυσκολίας. κατὰ τοῦτο τοίνυν ἡ σὴ ὑπεροχὴ ταῖς κατὰ τῶν ταξεωτῶν χρήσθω προστάξεσι. κἀκεῖνο γὰρ ἠπείληται τοῖς τε θεοφιλεστάτοις ⟨ἐπισκόποις καὶ τοῖς⟩ αὐτῶν κληρικοῖς, ὡς εἴπερ μὴ βουληθεῖεν αὐτοὺς μετὰ τοῦ καλουμένου λόγου τῆς ἐπαρχίας ἐκβαλεῖν καὶ εἰς τοὺς τόπους, εἰς οὓς ἀπεστάλησαν, ἄγειν μετὰ τῆς τοῦ λόγου πίστεως, ὡς ἐν τῷ ἴσῳ τῶν ἱερῶν χωρίων ἐκεῖσε διατρίβειν, οἴκοθεν, ἀλλ' οὐχὶ ἐκ τῶν ἐκκλησιαστικῶν πόρων, οὗτοι τὸ ἀζήμιον τοῖς δημοσίοις περιποιήσουσιν, οὐδὲ αὐτοῦ τοῦ περὶ τὴν ἱερωσύνην ἐξῃρημένοι κινδύνου.*

⟨Ἐπίλογος.⟩ Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου πραγματικοῦ δηλούμενα νόμου ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω. Dat. . . . . . .

ΙΑ

ΩΣΤΕ ΜΗΔΕΜΙΑΝ ΑΔΕΙΑΝ ΕΧΕΙΝ ΤΟΥΣ ΠΑΡ' ΑΙΓΥΠΤΙΟΙΣ ΖΥΓΟΣΤΑΤΑΣ ΤΕ ΚΑΙ ΧΡΥΣΩΝΑΣ ΤΟΥ ΛΟΙΠΟΥ ΥΠΕΡ ΟΒΡΥΖΗΣ ΤΙ ΑΠΑΙΤΕΙΝ, ΑΛΛΑ ΚΑΘ' ΟΜΟΙΟΤΗΤΑ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΑΥΤΗΣ ΠΟΛΕΩΣ ΤΟ ΧΑΡΑΤΤΟΜΕΝΟΝ ΕΚΕΙΣΕ ΧΡΥΣΙΟΝ ΓΙΝΕΣΘΑΙ, ΤΑΣ ΔΕ ΣΦΡΑΓΙΔΑΣ ΕΝΤΙΘΕΝΑΙ ΑΥΤΟΥΣ ΚΑΤΑ ΤΟΝ ΣΩΖΟΜΕΝΟΝ ΕΝ ΤΩΙ ΧΑΡΑΓΜΑΤΙ ΣΤΑΘΜΟΝ.

Ὁ αὐτὸς βασιλεὺς Πέτρῳ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἀνατολικῶν ἱερῶν praetorίων *τὸ δεύτερον καὶ ἀπὸ κομήτων τῶν θείων λαργιτιόνων τὸ δεύτερον καὶ ἀπὸ ὑπάτων.*

⟨Προοίμιον.⟩ Τὴν παρ' Αἰγυπτίοις λεγομένην ὄβρυζαν τοῖς ἄνωθεν μὲν χρόνοις οὐκ ἐγνωσμένην, ὀλίγῳ δὲ πρόσω ἐναρξαμένην τοῖς ἐπ' Αἰγύπτου συναλλάγμασιν ἐνοχλεῖν καὶ εἰς τοσοῦτον ἀτοπίας ἐκβᾶσαν, ὡς ἐννέα χρυσοῦς ἐφ' ἑκάστῃ παρέχεσθαι λίτρᾳ, πρὸς τὸ λοιπὸν ἀναστεῖλαι καὶ παῦσαι δεῖν ἡγησάμεθα, ὡς ἂν μὴ μέλλῃ καὶ τῷ δημοσίῳ λυμαίνεσθαι καὶ τοῖς τῶν ὑποτελῶν παρενοχλεῖν συναλλάγμασι, μάλιστα ὅτι καὶ τὸ πλεῖστον, ὡς ἔγνωμεν, ἐπ' αὐτῆς μόνης τῆς τῶν Ἀλεξανδρέων ἐξετάθη τὸ τοῦ πράγματος ἄτοπον, οὐχ οὕτω κατ' Αἴγυπτον ἢ τὰς ἄλλας πόλεις τῆς διοικήσεως ἐκείνης τῆς ἐπαρχίας πολιτευόμενον.

CAPUT I.

Θεσπίζομεν τοίνυν, κατὰ τὸ πάλαι πολιτευσάμενον, κἂν εἰ παρὰ τοὺς ἐν μέσῳ παρέφθαρται χρόνους ἐν τῷ παρὰ Ἀλεξανδρεῦσιν ἀπολύτῳ καλουμένῳ χαράγματι, τὸ κατὰ τὴν Αἰγυπτιακὴν διοίκησιν πολιτεύεσθαι

Edictum XI Graece tantum extat in M.

---

mus), ut, si qui eorum in sacra saepta confugiant, venia tuae excellentiae sit iubendi hos excedere illa provincia et in quocunque velis loco esse; hoc autem imperato dei amantissimi episcopi necesse habeant illos ex sacris locis educere accepta fide quae dicitur, in illis locis, in quae discedere iussi sint tutos eos fore et debere ministros publicos ducere eos in illos locos sine ulla molestia. Hoc igitur modo excellentia tua mandatis in cohortales utatur. Nam illud quoque dei amantissimis episcopis et eorum clericis minati sumus, nisi velint eos cum fide quae dicitur ex provincia eicere et in loca, in quae missi sunt, cum fidei securitate ducere, ut aeque atque in sacris locis illic morentur, eos de suo, minime vero de ecclesiasticis reditibus fisco indemnitatem praestaturos esse ne a sacerdotii quidem periculo exemtos.

Epilogus. Tua igitur excellentia quae nobis placuerunt et per hanc sacram pragmaticam declarantur legem operi et effectui tradere studeat.

XI.

UT NULLAM COPIAM HABEANT PONDERATORES ET MONETARII APUD AEGYPTIOS POSTHAC QUICQUAM PRO OBRUSSA EXIGENDI, SED AD INSTAR MAGNAE HUIUS URBIS SIGNATUM ILLIC AURUM FIAT, SIGNA VERO ILLI IMPONANT SECUNDUM PONDUS IN SIGNATO SERVATUM.

Idem Imperator Petro gloriosissimo praefecto sacro Orientis praetorio iterum et comiti sacrarum largitionum iterum et exconsuli.

Praefatio. Obrussam quae apud Aegyptios dicitur prioribus quidem temporibus incognitam, paulo autem ante contractus in Aegypto turbare exorsam et ad tantam impudentiam progressam, ut in unamquamque libram novem aurei dentur, in posterum reprimere ac tollere oportere putavimus, ne et rempublicam laedat et subditorum contractibus molesta sit, praesertim cum maxime huius rei absurditas, ut cognovimus, in ipsa sola Alexandria consederit, neque similiter per Aegyptum aut illius provinciae alias civitates in usum pervenerit.

I. *Sancimus igitur, secundum antiquam consuetudinem, etsi per medium tempus in signatura Alexandrinorum absoluta quae dicitur corrupta est, in Aegyptiaca dioecesi aurum administrari, ita ut*

---

1 *edictum ad episcopos missum non servatur* ‖ 5 *ita fere suppleverim:* ἀπελθεῖν ⟨αὐτοὺς ἐκέλευσας, ἀσφαλῶς διατρίψουσι καὶ ὅτι δεῖ⟩ αὐτούς. *Similiter Zachariae ceteri* ‖ 7 *supplementum est Agylaei* ‖ 9 ὡς ἐν *Kroll*] καὶ *M*, καὶ τοῦ ἐν ἴσῳ *Zachariae* ‖ 12 *subscr. praeter* dat. *om. M. Ob prooemii brevitatem et epilogi formam anno* 535 *priorem esse legem existimat Zachariae* ‖ 19 ἱερῶν p̄ρ̄ τὸ β^τ *M* ‖ 20 τὸ β^τ *M* ‖ 23 πρὸς τὸν τολοιπὸν *M* ‖ 24 μέλλοι *M* ‖ 26 ἐκεῖνο *M** ‖ 28 πολιτεῖσθαι *M*

1 *χρυσίον, οὐ δυναμένου τινὸς ὑπὲρ τῆς κακῶς ἐπινενοημένης ὀβρύζης ἀπαίτησιν ποιεῖσθαί τινα. Ἀλλὰ καὶ τὸ κατ' Αἴγυπτον πολιτευόμενον χρυσίον οὕτως ἐν τοῖς συναλλάγμασι συλλογίζεσθαι, ὡς τὸ κατὰ ταύτην τὴν μεγάλην χαραττόμενον πόλιν, παραφυλαττομένου τούτου κινδύνῳ τοῦ τε κατὰ καιρὸν παρὰ Ἀλεξανδρεῦσιν αὐγουσταλίου καὶ τῶν ὑπηρετουμένων αὐτῷ τάξεων.*

CAPUT II.

Ἐπειδὴ δὲ κεφάλαιον τοῦ κακουργήματος οἵ τε ζυγοστάται καὶ οἱ χρυσῶνες τυγχάνουσιν, ἐπετρέψαμεν τῷ νῦν ἐκείνας ἔχοντι τὰς ἀρχὰς ὑπὸ τὴν προσήκουσαν αὐτοὺς ἀσφάλειαν καταστήσασθαι, ὡς δι' ἀπολύτου χαράγματος ὑπουργήσωσι τοῖς συναλλάγμασι, καὶ εἴ γε καὶ σφραγίσαι δέοι ποτέ, τοσοῦτον ἐπιγράψωσι μόνον, ὅσον ταῖς ἀληθείαις ἐστὶν ὁ τοῦ ταῖς σφραγῖσιν ἐμβληθέντος χρυσίου σταθμός, οὐ δυναμένους πλέον τοῦ ταῖς ἀληθείαις ἐμβεβλημένου σταθμοῦ ταῖς σφραγῖσιν ἐγγράφειν κατὰ τοῦτο δὴ τὸ κακῶς ἄχρι τοῦδε πολιτευσάμενον. εἰ γάρ τι τοιοῦτο τολμήσουσι, καὶ δημοσίας αὐτῶν τὰς οὐσίας ποιοῦμεν καὶ ταῖς εἰς σῶμα ποιναῖς ὑποτίθεμεν, ὡς μηδὲ κατὰ κέλευσιν ἡμετέραν τῆς συνήθους αὐτοῖς κακουργίας ἐκστάντας. ἀλλὰ καὶ ἀνάγκην ἕξουσι πᾶσαν χορηγεῖν χρυσίον τοῦτο μὲν τῷ τε παρὰ Ἀλεξανδρεῦσιν αὐγουσταλίῳ καὶ τοῖς κατὰ καιρὸν ἔχουσι τὴν ἀρχὴν ἐπὶ ταῖς συνειθισμέναις ἐκπομπαῖς, τοῦτο δὲ τῷ τε νῦν ⟨καὶ τῷ⟩ κατὰ καιρὸν ἀλαβάρχῃ τῷ τε πραιποσίτῳ τῶν θείων ἡμῶν θησαυρῶν, οὐδὲν διάφορον ὑπὲρ ὀβρύζης παντελῶς κομιζόμενοι.

CAPUT III.

Οὕτω δὲ αὐτὸν ἐπετρέψαμεν τοῦ πράγματος προνοεῖν καὶ τοὺς μετ' αὐτὸν τὴν ἀρχὴν παραληψομένους καὶ τὰς πειθομένας αὐτοῖς τάξεις, ὡς εἰδότας, ὅτιπερ εἴ τι φανεῖεν ὑπὲρ ὀβρύζης ἀπαιτηθέντες ἢ οἱ τῶν θείων ἡμῶν προεστῶτες ἀλαβαρχιῶν ἢ ὁ τῶν θείων ἡμῶν λαργιτιόνων πραιπόσιτος, οἴκοθεν καταθήσουσι, τοῦτο μὲν ἐκ τῶν χορηγουμένων αὐτοῖς τε καὶ τάξεσιν ἀννόνων, τοῦτο δὲ τῶν οὐσῶν αὐτοῖς περιουσιῶν, οὐ μόνον ἐφ' ὅσον ἔχονται τῶν ἀρχῶν, ἀλλὰ κἂν εἰ ταύτας καταθέμενοι τύχωσι, καὶ εἴτε γράψαντες ὁμολογίας τούτου τοῦ μέρους ἀντελάβοντο τῆς ἀρχῆς εἴτε καὶ τοιοῦτο μηδὲν ὡμολογηκότες, ἐπεί γε μάλιστα μηδὲ
1 *ἀρχαῖον τὸ τῆς ὀβρύζης ἐστίν, ἀλλ' ἐκ νεωτέρων ἀρξάμενον χρόνων. Καὶ τοῖς ἄλλοις δέ, ὅσοι τὰς ἐμπορίας ποιοῦνται καὶ μέχρι νῦν λαμβάνειν τι διάφορον εἰθίσθησαν, προαγορεύσεις ὁμοίως, ὡς εἴ τι φανεῖεν ἐν τοῖς συναλλάγμασιν ὑπὲρ ὀβρύζης λαμβάνοντες ἢ ὑπολογιζόμενοι, καὶ οὐσίας ἔκπτωσιν καὶ τὰς εἰς σῶμα ποινὰς ὑποστήσονται. πρᾶγμα ⟨γὰρ⟩ κακῶς ἀρξάμενον, εἰς τοσοῦτον δὲ προελθὸν καὶ ὅλῳ τῷ πολιτεύματι λυμαινόμενον ἀνασταλῆναι πρὸς τὸν ἔπειτα χρόνον διὰ τοῦ παρόντος ἡμῶν κελεύομεν νόμου καὶ μὴ παρενοχλεῖν λοιπὸν τοῖς συναλλάγμασιν, ἀλλ' οὕτως αὐτὸ παραφυλαχθῆναι κινδύνῳ τοῦ παρὰ Ἀλεξανδρεῦσιν αὐγουσταλίου καὶ τῶν κατὰ καιρὸν τὴν αὐτὴν διοικησόντων ἀρχὴν καὶ τάξεων ἑκατέρων, ὥστε καὶ αὐτὴν αὐτοῦ τὴν μνήμην ἀναιρεθῆναι καὶ ζημίας τοσαύτης ἐλεύθερα εἶναι τὰ κατὰ τὴν Αἰγυπτιακὴν διοίκησιν συναλλάγματα.*

⟨Ἐπίλογος.⟩ Τὰ τοίνυν παραστάντα ἡμῖν καὶ διὰ τοῦδε τοῦ θείου δηλούμενα νόμου ἡ σὴ ἐνδοξότης ἔργῳ καὶ πέρατι παραδοθῆναι καὶ παραφυλαχθῆναι προσταξάτω. **Dat. VI. kal. Ian. CP. imp. dn. Iustiniani pp. Aug. anno XXXIII. post Basilii vc. cons. anno XVIII.** [*a.* 559.]

---

1 *nemo possit pro obrussa male excogitata quicquam exigere. Sed etiam aurum per Aegyptum usitatum sic in contractibus computari, ut illud quod in hac magna signatur urbe; observato hoc periculo eius qui quoque tempore praefectus est apud Alexandrinos augustalis et quae ei parent cohortium.*

II. *Quoniam vero caput fraudis tam ponderatores quam monetarii sunt, iniunximus illi, qui illos magistratus nunc sub dispositione habet, ut sub iusta cautione eos constituat; ut per absolutam signaturam contractibus inserviant et, si quando etiam signare oporteat, tantum inscribant, quantum revera est auri formis iniecti pondus, nec liceat eis e more perperam hactenus servato plus inscribere quam revera auri formis iniecti pondus sit. Si quid enim tale ausi fuerint, et bona eorum publicamus et corporis poenis eos subicimus, quippe qui ne post nostrum quidem mandatum de familiari ipsis improbitate destiterint. Sed etiam prorsus necesse habebunt aurum inferre, tum praefecto apud Alexandrinos augustali et qui quoque tempore eum magistratum gerunt in consuetis emissionibus, tum alabarchae et qui nunc est et qui quoque tempore futurus est, et sacrorum nostrorum thesaurorum praeposito, nullo prorsus pro obrussa accepto lucro.*

III. *Ita autem eum iussimus hanc rem curare eosque, qui post eum magistratum suscepturi sunt, et cohortes iis parentes, ut sciant, si pro obrussa aut a sacrarum nostrarum alabarchiarum praefectis aut a sacrarum nostrarum largitionum praeposito quicquam ipsos exegisse manifestum fiat, de suis se id pensuros esse, tam ex deputatis ipsis et cohortibus annonis, quam ex facultatibus suis, non solum donec in magistratu fuerint, verum etiam postquam eum deposuerint, et sive confessionibus scriptis hanc magistratus partem susceperint sive etiam nihil eiusmodi pacti sint, cum praesertim ne vetusta quidem sit*
1 *obrussa, sed a recentioribus exorsa temporibus. Sed etiam ceteris, quicunque mercaturas faciunt et hactenus lucri aliquid capere consueverunt, denuntiabis similiter, si quid in contractibus pro obrussa accipere aut in rationem inducere comperiantur, et bonorum publicationem et corporis poenas se subituros esse. Rem enim male coeptam, in tantum vero progressam et universae reipublicae nocentem aboleri in posterum praesenti nostra lege iubemus, nec posthac contractus turbare, sed ita hoc observari periculo praefecti apud Alexandrinos augustalis eorumque qui quoque tempore eundem magistratum gesturi sunt et utriusque cohortis, ut vel ipsa eius memoria extinguatur et tanto damno contractus in Aegyptiaca dioecesi liberi sint.*

Epilogus. Quae igitur nobis placuerunt et per hanc sacram declarantur legem, gloria tua operi effectuique tradi et observari iubeto.

---

8 *δυναμένους Zachariae*] *δυναμένου M* ‖ 11 *αὐτοῖς*] *αὐτῆς M* ‖ 12 *νῦν post τῷ τε add. Zachariae* ‖ 13 *καὶ τῷ add. Kroll, ἢ Zachariae* ‖ 14 *πρεποσίτῳ M* ‖ 17 *αραβαρχίων* (*sic*) *M* (*antea casu lac.* 2—3 *litt.*) ‖ 18 *ταῖς post καὶ et ἐκ post δὲ add. Zachariae* ‖ 21 *νεοτέρων M* ‖ 22 *εἰθίσθησαν Kroll*] *εἴθισαν M* ‖ 24 *γὰρ add. Zachariae* ‖ 25 *ὑμῶν M* ‖ 27 *διοικησάντων M* ‖ 31 *subscr.* d. VI. k. iannuar. *M* ‖ iust. M ‖ 32 XXXIII *Spangenberg*] XVII *M* ‖ basiliu *M* ‖ conss. *M.*

ΙΒ

ΠΕΡΙ ΕΛΛΗΣΠΟΝΤΟΥ.

⟨*Προοίμιον.*⟩ *Ἐδιδάχθη τὸ ἡμέτερον κράτος Ἰωάννην σκρινιάριον ⟨πεμφθῆναι⟩ κατὰ τὴν Ἑλλήσποντον ὡς δὴ τύπους τινὰς ἐγκεχειρισμένον προφάσει λογοθεσίων πολιτικῶν πόρων ἤτοι τῶν καλουμένων σολεμνίων, καὶ ὡς ἐν τῇ χώρᾳ γενόμενος οὐδενὸς ἀπέσχετο παντελῶς τῶν εἰς ἁρπαγὴν ἐσχάτην ἡκόντων, τάς τε πόλεις ληϊσάμενος καὶ ἐπανελθὼν εἰς ταύτην τὴν εὐδαίμονα πόλιν αὐτὸς μὲν χρυσίου μεστός, τῇ δὲ Ἑλλησποντίων χώρᾳ πᾶσαν ἀπολιπὼν πενίαν. τὰ μὲν οὖν κατ' ἐκεῖνον ὁποῖον προσήκει διατεθῆναι τρόπον καὶ θεραπευθῆναι τοὺς ἠδικημένους διώρισται παρ' ἡμῶν.*

CAPUT I.

Ἐπειδὴ δὲ ᾠήθημεν χρῆναι διὰ τὴν τῶν τὰ τοιαῦτα ἐγχειριζομένων ἀπληστίαν τύπῳ γενικῷ τὸ πᾶν θεραπεῦσαι, θεσπίζομεν, εἴ τις γένηται κατὰ τὴν χώραν προφάσει τοιαύτης τινὸς ζητήσεως ἢ ἐπὶ τῆς Ἑλλησποντίων ἢ ἐφ' ἑτέρας οἱασδήποτε χώρας, εἰ μὲν ἀρχικὴν ἔχοι πρόσταξιν, μηδένα παντελῶς αὐτῷ προσέχειν, ἀλλ' ἀκινδύνως ἀποσείεσθαι τὸν ἐκβιβασμὸν τὸν παρ' αὐτοῦ, εἰ δὲ μετὰ θείου πραγματικοῦ γένηται τύπου, εἰ μὲν κομμονιτόριον εἴη τὸ δεικνύμενον ἢ γράμματα περὶ τούτου γενόμενα, μηδὲ τούτοις προσέχειν, οἷα κατὰ συναρπαγὴν καὶ παρὰ γνώμην ἡμετέραν προελθοῦσιν· εἰ δὲ πραγματικὸς εἴη τὸ δεικνύμενον τύπος, μηδὲ οὕτως ἐξ αὐτοῦ τι πράττεσθαι προχείρως, τὸν δὲ τοιοῦτον πραγματικὸν τύπον λαμβάνειν καὶ μηνύειν τὸν τῆς ἐπαρχίας ἡγούμενον εἰς ἡμᾶς τὰ περὶ τούτου καὶ ἀναμένειν ἡμῶν δευτέραν κέλευσιν· ὥστε εἰ μὲν ἐπιγνοίημεν αὐτὸν καὶ τὸν ἐγχειρισθέντα τὸν τοιοῦτον τύπον, δεύτερον ἡμῶν γίνεσθαι πραγματικὸν τύπον ἐπιτρέποντα γενέσθαι τὴν ζήτησιν, εἰ δὲ ἀποδοκιμάσαιμεν ἢ τὸ πρᾶγμα ἢ τὸ πρόσωπον, μηδὲν ἐντεῦθεν γίνεσθαι, ἀλλ' ἀναπέμπεσθαι τὸν θεῖον τύπον παρὰ τοῦ τῆς ἐπαρχίας ἄρχοντος γινώσκοντος, ὡς εἰ ῥαθυμήσειε τούτου καί τις ἐπιστῇ τοῖς ὑπηκόοις τοῖς ἡμετέροις ἐντεῦθεν ζημία, ταύτην αὐτὸς οἴκοθεν ἐπιγνώσεται.

CAPUT II.

Ἄδειαν δὲ δίδομεν καὶ τοῖς ἐπισκόποις, εἰ ῥαθυμήσειεν ὁ τῆς ἐπαρχίας ἡγούμενος καὶ μὴ τὸν πραγματικὸν ἐπισχοίη τύπον, ἀλλ' ἐνδοίη τῷ τοῦτον μεταχειριζομένῳ, αὐτοὺς ταῦτα μηνύειν εἰς ἡμᾶς, ⟨οἳ⟩ εἴ γε ταῦτα μάθοιμεν, ὡς κοινωνὸν τῆς αἰτίας καταστάντα καὶ τῆς ἀρχῆς παραλύσομεν καὶ τῆς ζώνης αὐτὸν καὶ τῆς οὐσίας στερήσομεν, καὶ τοῖς καθ' οἱανοῦν ἠδικημένοις αἰτίαν τὸ ἀβλαβὲς περιποιήσομεν.

⟨*Ἐπίλογος.*⟩ *Ἡ τοίνυν σὴ ὑπεροχὴ τὰ παραστάντα ἡμῖν [καὶ] διὰ τοῦ παρόντος θείου πραγματικοῦ μανθάνουσα τύπου ἔργῳ καὶ πέρατι παραδοῦναι σπευσάτω* Dat. XV. kal. Sept. CP. Belisario vc. cons. [*a.* 535.]

Edictum XII Graece tantum extat in M.

XII.

DE HELLESPONTO.

Praefatio. Edocta est nostra potentia Iohannem scriniarium in Hellespontum missum esse, quod ei formae commissae essent ob ratiocinia civilium redituum aut sollemnium quae vocantur, et cum in provinciam venisset, a nulla prorsus earum rerum, quae ad extremas accedunt rapinas, abstinuisse, civitates spoliantem et reversum in felicem hanc urbem ipsum quidem auro repletum, Hellespontiorum vero regioni summa paupertate relicta. Et de illo quidem quid debeat fieri quove modo damnum restitui affectis, a nobis definitum est.

I. *Quoniam vero propter eorum, quibus talia demandantur, avaritiam putavimus oportere generali forma universae rei mederi, sancimus, ut, si quis eiusmodi quaestionis causa in provinciam, sive Hellespontiorum sive aliam quamlibet veniat, si quidem praesidis mandatum habeat, nemo prorsus ei obtemperet, sed sine periculo exactionem eius excutiat, sin autem cum sacra pragmatica forma venerit, si quidem quod profert commonitorium sit aut litterae de hoc conceptae, ne iis quidem obtemperetur, quippe quae per furtum et contra nostram voluntatem prodierint, sin autem quod ostenditur pragmatica forma sit, ne sic quidem ab eo festinanter quicquam agatur, sed talem pragmaticam formam provinciae praeses accipiat et de ea ad nos referat et alterum nostrum mandatum exspectet, ut si eam eumque cui talis forma commissa est agnoscamus, altera nostra procedat pragmatica forma quaestionem fieri praecipiens, sin autem aut rem aut personam reiciamus, nihil inde fiat, sed sacra forma a provinciae praeside remittatur sciente, si hanc rem neglexerit indeque damnum aliquod subditis nostris obvenerit, fore ut hoc ipse de suo resarciat.*

II. *Permittimus vero etiam episcopis ut, si provinciae praeses negligens sit et pragmaticam formam non inhibeat, sed ei, qui illam producit, morem gerat, ipsi eam rem nobis denuntient, qui si hoc didicerimus, eum tamquam criminis socium et de magistratu deiciemus et cingulo eum atque substantia privabimus et eis, qui qualibet in re iniuriam passi sunt, indemnitatem praestabimus.*

Epilogus. Tua igitur sublimitas quae nobis placuerunt et praesenti sacra declarantur pragmatica forma cognoscens operi et effectui tradere studeat.

---

2 *ad Iohannem praef. praet. missa est forma* ‖ 3 *ὑμέτερον M* ‖ *πεμφθῆναι addidi* (*γενέσθαι Zachariae*) ‖ 7 *διατεθεῖναι M* ‖ 17 *γενέσθαι cum Scrimgero vulg.* ‖ 22 *οἳ addidi* ‖ 24 *περιποιήσωμεν M* ‖ 25 *καὶ del. Skutsch*; *δηλούμενα pro μανθάνουσα* (*quod post θείον ponebat vulg.*) *maluerat Beck* ‖ 26 *subscr. δι.* XV. k. *M* ‖ bilisario vc. conss. *M*

ΙΓ

ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΕΩΝ ΚΑΙ ΤΩΝ ΑΙΓΥΠΤΙΑΚΩΝ ΕΠΑΡΧΙΩΝ.

⟨Ὁ αὐτὸς βασιλεὺς⟩ Ἰωάννῃ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων.

⟨Προοίμιον.⟩ Εἰ καὶ τὰ σμικρότατα τῶν πραγμάτων τῆς ἑαυτῶν ἀξιοῦμεν προνοίας, πολλῷ μᾶλλον τὰ μέγιστά τε καὶ συνέχοντα τὴν ἡμετέραν πολιτείαν οὐκ ἐγκαταλείψομεν οὐδὲ ἀπρονόητα οὐδὲ τοῦ προσήκοντος χηρεύοντα κόσμου ἐάσομεν, καὶ μάλιστα τῆς σῆς ἡμῖν ὑπουργούσης ὑπεροχῆς, ᾗπερ μέλει τῆς τε ἡμετέρας διὰ πάντων θεραπείας τῆς τε αὐξήσεως τῶν δημοσίων τῆς τε τῶν ὑποτελῶν τῶν ἡμετέρων φροντίδος. ἐννοήσαντες τοίνυν, ὡς ἐπὶ τῶν ἔμπροσθεν χρόνων, εἰ καὶ τὰ ἄλλα τῶν δημοσίων εἰσπράξεων ἐδόκει πως τετάχθαι, ἀλλ' οὖν κατὰ τὴν Αἰγυπτιακὴν διοίκησιν οὕτως ἦν συγκεχυμένα, ὥστε μηδὲ ὅ τι πράττεται κατὰ χώραν ἐνταῦθα γινώσκεσθαι, [καὶ] ἐθαυμάσαμεν τὴν μέχρι νῦν τοῦ πράγματος ἀταξίαν· ἀλλ ἔδωκεν ὁ θεὸς καὶ τοῦτο τοῖς ἡμετέροις φυλαχθῆναι καιροῖς καὶ ταῖς σαῖς ὑπουργίαις. ὥσπερ γὰρ ἡμῖν τὸν σῖτον τὸν ἐκεῖθεν προσρίπτοντες, οὕτως οὐδὲν ἕτερον ἠξίουν εἰσφέρειν· ἀλλ' οἱ μὲν συντελεῖς καθάπαξ ἰσχυρίζοντο πάντα εἰς ὁλόκληρον ἀπαιτεῖσθαι, οἱ παγάρχαι δὲ καὶ οἱ πολιτευόμενοι καὶ οἱ πράκτορες τῶν δημοσίων καὶ διαφερόντως ⟨οἱ⟩ κατὰ καιρὸν ἄρχοντες οὕτω τὸ πρᾶγμα μέχρι νῦν διετίθεσαν, ὡς μηδενὶ δύνασθαι γενέσθαι γνώριμον, αὐτοῖς δὲ μόνοις ἐπικερδές. ἐπειδὴ τοίνυν, εἴπερ καταλίποιμεν ἐν ὁμάδι τὸ πρᾶγμα διοικούμενον, οὐκ ἄν ποτε ἰσχύσαιμεν αὐτὸ διακαθᾶραι καὶ τάξαι προσηκόντως, διὰ τοῦτο συνείδομεν τὴν ἀρχήν, ἥπερ ἐφέστηκεν τοῖς Αἰγύπτου πράγμασι (φαμὲν δὲ τὴν τῶν αὐγουσταλίων), μετριωτέραις ἐπιστῆσαι φροντίσιν. οὐ γὰρ ἂν δύναιτο ῥᾳδίως εἷς ἀνθρώπου νοῦς τοσαύταις ἀρκέσαι μερίμναις καὶ τὸ πρᾶγμα οὕτως διαθεῖναι, ὥστε αἴσθησιν ἡμῖν ἀγαθὴν ἐν αὐτῷ καταστῆσαι.

CAPUT I.

Διὰ τοῦτο τοίνυν θεσπίζομεν τὴν σὴν ὑπεροχὴν τόνδε ἡμῶν τὸν ἐπὶ τούτῳ νόμον παραλαμβάνουσαν οὕτως αὐτὸν διαθεῖναι, ὡς ἄξιόν ἐστιν ἡμᾶς μὲν θεσπίσαι, τὴν δὲ σὴν ὑπεροχὴν ὑπουργῆσαι. τέως οὖν τὸν περίβλεπτον αὐγουστάλιον βουλόμεθα αὐτῆς τε Ἀλεξανδρείας ἄρχειν καὶ ἁπάντων τῶν κατ' αὐτὴν φροντίζειν, καὶ πρός γε δύο Αἰγύπτων καὶ μόνων, ἐξῃρημένου τοῦ λεγομένου Μενελαΐτου τῆς πόλεως ἥτις ἐστὶ
1 *πρώτης Αἰγύπτου, καὶ πρός γε τοῦ Μαρεώτου· ἐπ' ἐκείνοις γὰρ τὰ εἰκότα διατυπώσομεν. βουλόμεθα δὲ αὐτὸν ὡς εἴρηται μὴ μόνης Ἀλεξανδρείας, ἀλλὰ καὶ τῶν δύο Αἰγύπτων (μετὰ τὴν εἰρημένην ἐξαίρεσιν τοῦ τε Μαρεώτου καὶ τοῦ Μενελαΐτου) ἄρχοντα καθεστάναι, ὥστε τὸν ἄρχοντα τὸν ἐπιχώριον τῶν εἰρημένων δύο ἐπαρχιῶν ἐπ' αὐτῷ τετάχθαι καὶ μόνῳ, καθάπερ καὶ μέχρι νῦν σχήματος ἔχει. ταὐτὸν δὲ εἰπεῖν, τὸν περίβλεπτον αὐγουστάλιον διὰ τὸ τῆς εἰρημένης μεγίστης πόλεως πολυάνθρωπον ἔχειν τὰ δίκαια καὶ τῆς*

Edictum XIII (*numerum om. M in textu, habet ind. M*) *Graece tantum extat in M.*

XIII.

DE URBE ALEXANDRINORUM ET AEGYPTIACIS PROVINCIIS.

Idem imperator Ioanni gloriosissimo praefecto sacro Orientis praetorio.

Praefatio. Si vel minimas res nostra cura dignas iudicamus, multo magis maximas et quae nostram rempublicam continent non derelinquemus neque neglectas aut conveniente ordine viduas sinemus, praesertim cum tua sublimitas nobis inserviat, cui cordi est et nostra per omnia salus et incrementum publicorum redituum et subditorum nostrorum cura. Considerantes igitur superioribus temporibus, licet ceterae publicorum exactiones quodammodo ordinatae esse viderentur, tamen in Aegyptiaca dioecesi rem ita fuisse confusam, ut ne notum quidem esset hic quid in provincia ageretur, mirati sumus eius rei inordinatum hactenus statum; sed deus etiam hoc temporibus nostris tuoque ministerio reservari concessit. Nam quod frumentum inde nobis proicerent, nihil aliud contribuere volebant; sed collatores omnia omnino a se exigi simul omnes affirmabant, pagarchae vero et curiales et publicorum exactores et inprimis qui quoque tempore praefecti erant rem hactenus ita tractarunt, ut nemini posset esse perspicua, ipsis autem solis lucrosa. Quoniam igitur, si rem sine ordine administratam relinqueremus, nunquam eam possemus castigare et iuste componere, ideo constituimus administrationem quae Aegypti rebus praeest (Augustalem dicimus) minoribus curis praeficere. Neque enim facile unius hominis mens tot curis sufficere potest et rem ita disponere, ut bonam eius notitiam nobis praestet.

I. *Propterea igitur sancimus sublimitatem tuam hancce nostram de ea re legem accipientem sic ea uti, ut dignum est et nos sancire et tuam sublimitatem obsequi. Nunc igitur spectabilem Augustalem ipsam Alexandriam regere et omnium quae ad eam pertinent curam habere volumus et insuper duas Aegyptos solas, exempta urbe quae Menelaïtes dicitur et primae Aegypti est, et insuper Mareota: de his enim con-*
1 *sentanea constituturi sumus. Volumus autem eum, ut dictum est, non solius Alexandriae, sed etiam utriusque Aegypti (post dictam exemptionem Mareotae et Menelaïtae) praefectum esse, ut iudex provincialis dictarum duarum provinciarum in eo solo gradu consistat, quem etiam hucusque obtinet. Vel quod idem est, spectabilem Augustalem propter hominum in memorata maxima urbe multitudinem habere etiam*

---

1 *Ita haec in M: ἀρχὴ συν θεῷ τοῦ πρὸς ἰωάννην τὸν ἐνδοξότατον ὕπαρχον* (*correxi*) *τῶν ἀνατολικῶν ἱερῶν πραιτωρίων: — νόμος περὶ τῶν* (*corr. Zachariae*) *ἀλεξανδρέων καὶ τῶν αἰγυπτιακῶν ἐπαρχιῶν. — Forsitan errore Iohannis nomen constitutioni praemitti statuit Zachariae; cf. ad subscr.* ‖ 6 *προσ|σήκοντος M* ‖ 10 *συνκεχυμένα M* ‖ 11 *καὶ del. Zachariae* ‖ 14 *παγάρχοι M, corr. Zachariae* ‖ 15 *οἱ add. Zachariae* ‖ 16 *αὐτοῖς M* ‖ *ἐνομάδι M, ἐνομάδας cum Scrimgero vulg.* ‖ 20 *ἐπ' αὐτῷ, postea ἐν αὐτῷ Zachariae* ‖ 21 *παραλαμβάνουσιν M* ‖ 22 *αὐτὸ Zachariae* ‖ 24 *πρώτης Zachariae*] *πρὸ τῆς M* ‖ 28 *an ὑπ' αὐτῷ? cf. c. XV in.* ‖ *βουλόμεθα δὲ καὶ τὸν τούτων ἄρχοντα ante ταὐτὸν inserit Zachariae*

στρατιωτικῆς ἀρχῆς, οὐ διῃρημένου τοῦ πράγματος οὐδὲ εἰς ἄρχοντας δύο καθεστῶτος (τοῦτο γὰρ ἡγούμεθα τῷ παντὶ συμφέρειν), ἀλλ' ὥστε ἕνα μὲν ἄνδρα προεστάναι τοῦ εἰρημένου θρόνου, ἔχειν δὲ ἐξουσίαν κατὰ πάντων τῶν ἐκεῖσε στρατιωτῶν τῶν ἱδρυμένων εἴτε ἐπ' αὐτῆς τῆς Ἀλεξανδρέων μεγάλης πόλεως εἴτε ἐπὶ τῶν δύο Αἰγύπτων καθάπερ εἴρηται·

CAPUT II.

δεῖ γὰρ καὶ τῆς εὐκοσμίας τῆς πόλεως προνοεῖν τε καὶ τοῦ μηδὲν ταραχῶδες γίνεσθαι κατὰ τὸν εἰρημένον δῆμον· ἀλλ ἔχοντα τὸν ἐπὶ τῆς εἰρημένης ἀρχῆς τεταγμένον τήν τε ἐκ τῆς πολιτικῆς ἀρχῆς δύναμιν τήν τε ἐκ τῶν στρατιωτῶν ἰσχὺν θεοῦ πρὸ πάντων ἡγουμένου τῆς εὐταξίας τῆς εἰρημένης πόλεως προνοεῖν, ἐπέχοντα τὸν τόπον, ὅσον ἐπ' αὐτοῖς τοῖς στρατιώταις τοῖς τε ἐν Ἀλεξανδρείᾳ τοῖς τε ἐφ' ἑκατέρας Αἰγύπτου, καὶ τῶν ἐνδοξοτάτων καὶ ἀνδρειοτάτων στρατηγῶν τῶν πραισενταλίων τῶν τε τῆς Ἑῴας· ὥστε καὶ ἀδρεσπόνσουμ παρεῖναι αὐτῷ καὶ ὑπουργεῖν οἷς ἂν ἐπιτάξειεν.

Ἔσται δὲ αὐτῷ ἡ τάξις ἥ τε αὐγουσταλιανὴ καὶ μὴν καὶ ἡ δουκική, ἄχρι μέντοι ἑξακοσίων· οὐχ ὥστε ἰδίᾳ μὲν εἶναι τοὺς δουκικοὺς ἰδίᾳ δὲ τοὺς αὐγουσταλιανούς, ἀλλ' ὥστε μίαν γενέσθαι τάξιν καὶ κατάλογον ἕνα, οὗπερ ἄνδρες ἑκατὸν πρωτεύουσι, πεντήκοντα μὲν τῆς αὐγουσταλιανῆς τάξεως πεντήκοντα δὲ οἱ πρῶτοι τῶν δουκικῶν, ἀμοιβαδὸν ἐν ἀλλήλοις ταττόμενοι, ὥστε πρῶτον μὲν εἶναι τὸν αὐγουσταλιανόν, δεύτερον δὲ τὸν δουκικόν, καὶ τοῦτο ἐφεξῆς παραφυλαχθῆναι τὸ σχῆμα τῶν ἑκατὸν τῶν ἐν αὐτοῖς πρωτευόντων, τὸ δὲ λοιπὸν ἅπαν ὡς ἂν ὁ τὴν ἀρχὴν ἔχων συνίδοι οὕτω καταστῆναι, μὴ μέντοι ὑπερβαίνειν τὴν πᾶσαν τάξιν τὴν ἀναμὶξ ἔκ τε τῶν αὐγουσταλιανῶν ἔκ τε τῶν δουκικῶν συγκειμένην ἄνδρας ἑξακοσίους·

CAPUT III.

πάντων τῶν ἐπὶ τούτῳ πραττομένων εἴς τε τὸν θρόνον τὸν σὸν εἴς τε ἡμᾶς διὰ τῆς σῆς ὑπεροχῆς ἀναφερομένων, ὥστε καὶ τὸ παρ' ἡμῶν εἴ γε ὀρθῶς γένηται προσδέξασθαι κῦρος. καὶ ἐπειδὰν ἡ τάξις καταστῇ, μηδένα τῶν αὐγουσταλιανῶν γίνεσθαι χωρὶς προβατορίων ἐκ τῆς ἡμετέρας χειρὸς ὑπογραφομένων, καθάπερ μέχρι νῦν. ἔσται δὲ αὐτῇ πάσῃ τῇ τάξει τὸ τῆς αὐγουσταλιανῆς πρόσρημα, ἄρχων δὲ ὁ παρὰ τῆς βασιλείας προχειριζόμενος ⟨ὡς⟩ βασιλικῆς ἄξιος κρίσεως, ὃς παραλήψεται τὴν ἀρχὴν καὶ καθαρὰς φυλάξει τὰς χεῖρας καὶ πανταχόθεν ἑαυτὸν ἄξιον τῆς βασιλικῆς δείξει κρίσεως. οὐδὲ γὰρ ἡμεῖς ἐκ τοῦ δημοσίου αὐτῷ ταύτην μόνην δώσομεν τὴν παραψυχήν, ἣν μέχρι νῦν ὁ περίβλεπτος αὐγουστάλιος ἔχει, τὰς πεντήκοντα μὲν ἀννόνας καὶ τὰ πεντήκοντα κάπιτα, ἀλλὰ μεγάλῃ τῇ παραυξήσει χρησάμενοι quadraginta librarum auri *ἔτους ἑκάστου λαμβάνειν ὑπὲρ σιτήσεων βουλόμεθα καὶ ὑπὲρ συνηθειῶν καὶ καλανδικῶν παρὰ βίνδικος ἐκ τῶν ὑποτεταγμένων τῷδε τῷ τύπῳ τόπων τε καὶ αἰτιῶν.*

CAPUT IV.

Οἱ δέ γε αὐτῷ παρεδρεύοντες quinque librarum auri *λήψονται ἐκ τῶν αὐτῶν καὶ ἑτέρους* mille solidos *καὶ ἡ κατ' αὐτὸν τάξις, καίτοιγε πρότερον τὴν τρίτην αὐτῶν ἔχουσα ποσότητα· καὶ ἔσται τὸ πρᾶγμα λαμ-*
1 *πρόν τε καὶ τῶν ἡμετέρων ἀξίως διῳκημένον χρόνων. Πρώτην δὲ εἶναι φροντίδα τῷ τὴν τοιαύτην ἀρχὴν ἔχοντι βουλόμεθα τὴν τῆς αἰσίας ἐμβολῆς διοίκησιν, ὥστε αὐτὸν μὲν τὸν περίβλεπτον αὐγουστάλιον*

---

iura imperii militaris, re non divisa neque ad duos magistratus pertinente (hoc enim universae rei conducere putamus), sed unum hominem dictae sedi praeesse, potestatem autem habere in omnes qui illic sunt milites, sive in ipsa Alexandrinorum magna urbe sive in utraque Aegypto collocati sunt, sicuti dictum est;

II. *oportet enim et disciplinae civitatis providere et ne quid tumultuose in dicta plebe agatur; sed eum qui dictae administrationi praepositus est, habentem tam civilis iudicis potestatem quam militum vim deo in omnibus auspice disciplinae dictae civitatis providere, cum quantum ad milites ipsos et Alexandriae et utriusque Aegypti spectat locum teneat gloriosissimorum et fortissimorum magistrorum praesentalium et per orientem, ut etiam ad responsum ei adsit et mandatis eius audiens sit. Erit autem ei officium tam augustalianum quam etiam ducianum, usque ad sescentos tamen, non ut seorsum duciani sint seorsum augustaliani, sed ut unum officium fiat et una matricula, in qua centum principes sint, quinquaginta augustaliani officii, quinquaginta vero primates duciani, alternis vicibus collocati, ut primus sit augustalianus, secundus vero ducianus, et hic deinceps modus observetur in centum eorum principibus, reliquum vero omne ita constituatur quemadmodum ei qui magistratum habet videbitur, ut tamen universum officium ex augustalianis et ducianis commixtum non excedat viros sescentos;*

III. *omnibus quae in his aguntur et ad tuam sedem et ad nos per sublimitatem tuam referendis, ut etiam a nobis si recte facta sint confirmentur. Et postquam officium constitutum fuerit, nemo augustalianus fiat absque probatoriis nostra manu subscriptis, sicut hactenus. Erit autem universo huic officio augustaliani cognomen, praefectus autem ab imperatore electus imperatorio iudicio dignus habitus, qui administrationem suscipiet et puras servabit manus et usquequaque se dignum imperatorio iudicio praestabit. Neque enim nos hoc solum ei e fisco dabimus emolumentum, quod nunc usque spectabilis Augustalis habet, quinquaginta annonas et quinquaginta capita, sed magno augmento usi quadraginta librarum auri quotannis pro annonis eum et pro consuetudinibus et calandicis accipere volumus a vindice ex subiectis huic formae locis et titulis.*

IV. *Assessores autem eius quinque librarum auri accipient ex eisdem, et alios mille solidos eius officium, licet antea tertiam eorum partem perceperit; et erit res splendida et nostris temporibus digne*
1 *disposita. Primam vero curam ei qui illam praefecturam habet esse volumus felicis embolae administrationem, ut ipse spectabilis Augustalis et quod ei paret officium periculo sui ipsius et rerum quas*

---

1 *καθεστῶτας* M^a ‖ 5 *τε* Zachariae] *σε M* (*an ἑ? cf. c. XVIII § 1*) ‖ *ταραχώδες* M^b, *ταραχώδους* M^a ‖ 7 *τῆς εἰρημένης εὐταξίας τῆς πόλεως M, corr. Kroll* ‖ 9 *καὶ τὸν ἐνδοξότατον καὶ ἀνδρειότατον στρατηγὸν τῶν πρ. τόν τε M, corr. Zachariae* ‖ *ὥστε Kroll*] *τε M, lacunam statuit Zachariae* (*βουλόμεθα δὲ . . . . .*) ‖ 11 *ἔσται* Zachariae] *ἐστὶ M* ‖ *καὶ μὴν* Zachariae] *ναὶ μὴν M* ‖ 13 *οἱ πρῶτοι post μὲν add. Zachariae, mihi infra οἱ πρῶτοι delendum videtur* ‖ 14 *ταττομένων M, corr. Zachariae* ‖ 16 *μὴ* Zachariae] *μηδὲν M* ‖ 20 *τῶν προβ. cum Scrimgero vulg.* ‖ *ὑπογραφομένης M, corr. Zachariae* ‖ 21 *αὐτῇ suspectum* ‖ *ὁ ἄρχων Zachariae* ‖ 22 *ὡς inserui* (*an ἀξιωθεὶς?*) ‖ *ὃς del. Zachariae* ‖ 25 *ἀνόνας M* ‖ auri *M* ‖ 28 auri *M* ‖ 29 *κατ' αὐτῶν cum Scrimgero vulg.* ‖ 30 *δὲ* Zachariae] *τε M* ‖ 31 *αἰσίας M et ita semper fere*

καὶ τὴν πειθομένην αὐτῷ τάξιν κινδύνῳ οἰκείῳ καὶ τῶν ὄντων αὐτῷ καὶ ἐσομένων πραγμάτων καὶ κινδύνῳ τῆς αὐτοῦ τάξεως οὐ περὶ ταῦτα μόνον ἀλλὰ καὶ τὴν σωτηρίαν αὐτὴν ἀγωνιώσης, πᾶσαν τίθεσθαι πρόνοιαν τοῦ τὸν εἰρημένον τῆς αἰσίας ἐμβολῆς σῖτον καὶ ἀπαιτεῖσθαι καὶ κατὰ τοὺς νενομισμένους καιροὺς ἐκπέμπε-
2 σθαι. ἀλλὰ τοῦτον μὲν εἰσπράττειν ὅστις ἐξ ἑκατέρας ἐστὶν Αἰγύπτου, τὸν δὲ ἄλλον ἀνυπερθέτως ὑποδέχεσθαι [ἢ] καὶ ἐμβάλλεσθαι τοῖς πλοίοις παρασκευάζειν τε εἰς ταύτην ἐκπέμπεσθαι τὴν εὐδαίμονα πόλιν, ὅσος τοῦ κανόνος τῆς αὐτῆς αἰσίας ἐμβολῆς ἐστι τῆς ἐνταῦθα πλωϊζομένης. ὁμοίως δὲ καὶ τὸν παρ' ἡμῶν φιλοτιμούμενον τῆς μεγάλης τῶν Ἀλεξανδρέων πόλεως τὸν μὲν ἀπαιτεῖν, ὅσος ἐξ Αἰγύπτου καθέστηκεν ἑκατέρας, οἰκείῳ κινδύνῳ καὶ τῆς αὐτοῦ τάξεως, τὸν δὲ ὑποδέχεσθαι ὁπόσος ἐξ ἑτέρων ἀφίκοιτο τόπων καὶ αὐτῷ παραδοθείη κατὰ τὸ μᾶλλον ἔτι σαφέστερον ἐν τοῖς ἐφεξῆς δηλωθησόμενον, καὶ δαπανᾶν καθάπερ εἴθισται περὶ τὸ τρόφιμον τῆς αὐτῆς πόλεως, ὥστε τὸ ἄφθονον αὐτὴν βουλήσει θεοῦ διὰ πάντων ἔχειν· συγκινδυνευόντων τῷ αὐτῷ περιβλέπτῳ αὐγουσταλίῳ ὅσον εἰς τὴν εἴσπραξιν καὶ τῶν στρατιωτῶν τῶν ὑπ' αὐτὸν τεταγμένων καὶ τῶν λαμπροτάτων τριβούνων καὶ πάσης πολιτικῆς καὶ δημοσίου βοηθείας, ὥστε πανταχόθεν ἀνεμπόδιστον τὸ πρᾶγμα γίνεσθαι.

CAPUT V.

Τὸν δὲ ἐκ τῶν τόπων τῶν μὴ ὑπ' αὐτὸν ὄντων ἐκκομιζόμενον θεσπίζομεν κατὰ τοσοῦτον ἐπάγειν αὐτῷ τὸν κίνδυνον, ὥστε ἐπειδὰν ἐκκομισθείη αὐτόν τε ὑποδέχεσθαι πάσης μελλήσεως χωρὶς καὶ τὴν πειθομένην αὐτῷ τάξιν ⟨καὶ⟩ οἰκείῳ κινδύνῳ πλωΐζειν πρὸς ταύτην τὴν εὐδαίμονα πόλιν, πανταχοῦ πρόνοιαν ποιούμενον τοῦ μηδὲν ἐκφόριον γίνεσθαι ἐκ τῶν ὑποτεταγμένων αὐτῷ πόλεών τε καὶ ἐπαρχιῶν καὶ τόπων καὶ ὅρμων καὶ στομίων, πρὶν τὴν αἰσίαν ἐμβολὴν ἀποπλεῦσαι τῆς Ἀλεξανδρέων πόλεως, μηδὲ μετὰ ταῦτα, πλὴν εἰ μὴ κατὰ τὸ παρ' ἡμῶν ἐπιτετραμμένον ἢ ἐπιτραπησόμενον ἐκ θείων μὲν ἡμῶν τύπων, προστάξεων δὲ τῶν θρόνων τῶν σῶν· πρὸς ἅπαντα καὶ τῶν στρατιωτῶν ὑπουργούντων αὐτῷ καθάπερ ἔμπροσθεν εἴρηται οἷς ἂν αὐτοῖς προστάξειε, καὶ τῶν ναυκλήρων ὑποδεχομένων τὸν σῖτον καὶ ἐμβαλλόντων ταῖς ναυσὶ κἀκεῖθεν ὑφ' ἡγεμόνι θεῷ πρὸς ταύτην τὴν εὐδαίμονα ναυτιλλομένων πόλιν.

CAPUT VI.

Εἰ μέντοιγε τὸν ἐξ ἑκατέρας Αἰγύπτου μὴ εἰσπράξειε σῖτον, καὶ τὸν μὲν τῆς ἐνταῦθα πεμπομένης αἰσίας ἐμβολῆς εἰσκομισθῆναι παρασκευάσειε τῇ Ἀλεξανδρέων καὶ πλωϊσθῆναι πρὸς ταύτην τὴν εὐδαίμονα πόλιν καὶ βασιλίδα πρὸ πέρατος τοῦ αὐγούστου μηνός, τὸν δὲ τοῦ τροφίμου τοῦ παρ' ἡμῶν φιλοτιμουμένου διὰ τοῦ σεπτεμβρίου μὴ εἰσκομίσειε τῇ τῶν Ἀλεξανδρέων πόλει, ἴστω ὡς κατὰ τριῶν ἀρτάβων ὑπὲρ ἑκάστου νομίσματος ἀπαιτηθήσεται παρὰ τοῦ σοῦ θρόνου τὸ λεῖπον ἢ τῇ ἐμβολῇ ἢ τῷ τροφίμῳ κατὰ τὸ ἐξ ἑκατέρας Αἰγύπτου εἰσφερόμενον αὐτός τε ὁ ἄρχων καὶ ἰδιώτης γενόμενος κληρονόμοι τε αὐτοῦ καὶ διάδοχοι, καὶ τὰ αὐτοῦ πράγματα κατ' οὐδένα τρόπον ἐλευθερούμενα, ἕως ἅπαν τὸ ἐντεῦθεν ὄφλημα κατὰ τριῶν ἀρτάβων ἀποτιμώμενον εἰσκομίσειε ταῖς τραπέζαις ταῖς σαῖς. ἀλλὰ προσήκει πάντως αὐτὸν καὶ τὴν ἐξ ἑκατέρας Αἰγύπτου πληναρίαν πρᾶξαι κατὰ τοὺς εἰρημένους καιρούς.

CAPUT VII.

Ἐπειδὴ δὲ ἡ ἐπὶ τῆς αἰσίας ἐμβολῆς φροντὶς συνημμένον τε καὶ ἀχώριστον ἔχει τὸν τῶν ναύλων τίτλον, βουλόμεθα καὶ τὰ περὶ τούτου διατυπῶσαι, ὥστε ὁλόκληρον τῷ πράγματι καὶ προσήκουσαν ἐπιθεῖναι

---

habet habiturusve est, et periculo officii eius non de his solum sed etiam de ipsa salute periclitantis omnem curam gerat, ut dictum felicis embolae frumentum et exigatur et statutis temporibus evehatur.
2 *Et id quidem exigat quod ex utraque est Aegypto, reliquum vero sine dilatione suscipiat et navibus imponat et curet ad hanc felicem urbem exportandum, quantum canonis est eiusdem felicis embolae quae navibus huc advehitur. Similiter vero etiam quod a nobis donatur magnae Alexandrinorum urbis frumentum partim exigat, quantum ex utraque Aegypto consistit, proprio et officii sui periculo, partim suscipiat, quantum ex aliis locis advenerit et ei traditum sit secundum ea quae in sequentibus apertius demonstrabuntur, atque eroget solito more in eiusdem urbis alimoniam, ut deo volente in omnibus abundantia utatur: periclitantibus cum eodem spectabili Augustali, quantum ad exactionem pertinet, et militibus sub eo constitutis et clarissimis tribunis et omni civili et publico adiutorio, ut ab omni parte expedita res procedat.*

V. *Quod autem ex locis non sub eo constitutis adportatur, eatenus ei periculum adferre sancimus, ut postquam adportatum sit ipse absque ulla cunctatione suscipiat et officium quod ei paret et proprio periculo navibus id vehat ad hanc felicem urbem, ubique prospiciens, ne quicquam exportetur ex subiectis ipsi urbibus et provinciis et locis et stationibus navium et ostiis prius quam felix embola ab Alexandrinorum urbe avecta sit, ac ne postea quidem nisi quatenus a nobis permissum sit vel permittatur per sacras nostras formas sedisque tuae iussiones; ad omnia vero militibus ei obtemperantibus, ut antea dictum est, quidquid eis imperaverit, naviculariis autem frumentum accipientibus et navibus imponentibus indeque deo duce ad hanc felicem urbem navigantibus.*

VI. *Quodsi frumentum ex utraque Aegypto non exegerit neque quod felicis embolae est quae huc mittitur ad Alexandrinorum urbem adportandum curaverit et ad hanc felicem et regiam urbem mitti ante finem mensis Augusti, quod autem alimoniae est a nobis donatae per mensem Septembrem non importaverit in Alexandrinorum urbem, sciat fore ut per ternas artabas pro singulis aureis computatione facta exigatur a sede tua quod deest sive embolae sive alimoniae in eo quod ex utraque Aegypto infertur et ipse praefectus, etiam cum privatus factus erit, et heredes eius et successores et bona eius, quae nullo modo liberabuntur, donec quidquid hinc debet ad tres artabas aestimatum mensis tuis intulerit. Ceterum oportet eum omnino etiam plenariam facere ex utraque Aegypto temporibus quae diximus.*

VII. *Quoniam vero felicis embolae cura connexum et confusum habet naulorum titulum, volumus etiam quae ad hunc pertinent definire, ut plenam rei convenientemque curam tribuamus. Interim igitur*

---

2 τίθεσθαι *Kroll (cf. e. g. 79, 20)*] γίνεσθαι *M* ‖ 4 ὅστις] ὃς τῆς *M* ‖ 5 ἢ *seclusi* ‖ πλόοις *M* ‖ τε] *praestat* τε καὶ *aut tale aliquid; certe a* παρασκευάζειν *pendet* ἐμβάλλεσθαι ‖ 8 ἀποδέχεσθαι *cum Scrimgero vulg.* ‖ ἑκατέρων *M, corr. Zachariae* ‖ 9 αὐτῷ *Zachariae*] αὐτὰ *M* ‖ ἔτι *Scrimger*] ἐστὶ *M* ‖ 10 ἔχει *M* ‖ 11 πρᾶξιν *M, corr. Zachariae* ‖ 14 αὐτῶν *M*ᵃ ‖ 15 ἐγκομισθείη *M* ‖ μελήσεως *M* ‖ 16 καὶ *add. Zachariae* ‖ 18 ὀρμῶν *M* ‖ 19 προσ ξεων *(lac. 3—4 litt.) M* ‖ 21 οἷς] ὡς *Zachariae* ‖ αὐτὸς *olim Zachariae fort. recte* ‖ ἐμβαλόντων *M* ‖ 26 ἀρράβων *M*ᵃ ‖ 30 ἀποτιμωμένων *M, corr. Zachariae* ‖ εἰσκομισθείη *Zachariae* ‖ αὐτὴν *M*ᵃ

τὴν πρόνοιαν· τέως οὖν τὸν τῶν ναύλων ἀποδέκτην βουλόμεθα μὴ ἄδειαν ἔχειν πᾶσιν ἑαυτὸν ἐπεμβάλλειν τοῖς δημοσίοις τέλεσι, καὶ τισὶ μὲν τῶν ὑπευθύνων ἐνδιδόναι καὶ τὰ καλούμενα ἐνδοματικὰ κομίζεσθαι καὶ ἐντεῦθεν τοῦ δημοσίου ῥαθυμεῖν, ἑτέρους δὲ παρὰ τὸ προσῆκον εἰσπράττειν καὶ πλεῖον ἴσως ἢ πρότερον καὶ παρὰ τοὺς νενομισμένους ⟨καιρούς⟩, καὶ ἐντεῦθεν λαμβάνειν ἀφορμήν τε καὶ ἀρχὴν τῆς τοῦ πράγματος συγχύσεως, τὸ μὲν ἀπαραίτητον τῶν ναύλων ἀεὶ προτεινόμενον, τῷ δὲ συγκεχυμένῳ τὴν ἑαυτοῦ θεραπείαν θηρῶντα, καὶ ὑπερφρονοῦντα μὲν τῶν τραπεζῶν τοῦ δικαστηρίου τοῦ σοῦ, ὁμοίως δὲ ἅπαντα κέρδους χάριν ὑφ' ἑαυτὸν ποιεῖσθαι σπεύδοντα.

CAPUT VIII.

Ἐπειδὴ τοίνυν ἡ σὴ ὑπεροχὴ πάντα ἀγρύπνως διοικουμένη ἐδίδαξεν ἡμᾶς, ὅσος συλλογίζεται τῶν ναύλων κανὼν ὁ ἐκ τῆς Ἀλεξανδρέων χορηγούμενος, εἰς νομισμάτων μυριάδας ὀκτώ, οἷα καὶ τῆς εὐτυχοῦς σιτοπομπίας εἰς ὀκτακοσίας μυριάδας συνιούσης, βουλόμεθα τὰς ὀκτὼ ταύτας μυριάδας τῶν νομισμάτων δίδοσθαι τῷ τῶν ναύλων ἀποδέκτῃ ἐκ τῶν ὑποτεταγμένων ἐπαρχιῶν καὶ πόλεων καὶ τόπων καὶ προσώπων· διὰ τοῦτο γὰρ ἐν εὐπόροις ἐποιησάμεθα τὴν τοιαύτην ἐκταγήν, ὥστε μηδὲν παντελῶς μήτε ἐξ ἀναβολῆς μήτε ἐξ ἐλλείψεως τῆς αἰσίας σιτοπομπίας γενέσθαι. ὁ μέντοι περίβλεπτος αὐγουστάλιος καὶ ἡ πειθομένη τάξις αὐτῷ, κατὰ μίαν ὡς εἴρηται γενομένη συστροφήν τε καὶ ἕνωσιν ἔκ τε τῶν αὐγουσταλιανῶν ἔκ τε τῶν προτέρων δουκικῶν, τὰς εἰσπράξεις ποιήσονται τῶν πόλεων καὶ τῶν τόπων καὶ τῶν προσώπων τῶν ἀφωρισμένων ἔκ τε τῆς Ἀλεξανδρέων καὶ ἑκατέρας Αἰγύπτου τῷ ἀποδέκτῃ τῶν ναύλων, ὁμοίως καὶ αὐτοῦ τοῦ τῶν ναύλων ἀποδέκτου τὴν τοιαύτην εἴσπραξιν ποιουμένου, ἐφ' ᾧ τε οἰκείῳ κινδύνῳ τόν τε αὐγουστάλιον ὡς εἴρηται τήν τε αὐτοῦ τάξιν ταῦτα ἀπαιτεῖν ἅμα τῷ ἀποδέκτῃ τῶν ναύλων· ⟨ᾧ⟩ καὶ αὐτῷ κίνδυνος ἐπέστη τῆς τούτων εἰσπράξεως, ὥστε ἀμέμπτως καὶ ἀπαιτεῖν τὸ χρυσίον καὶ ἐπιδιδόναι τῇ εἰρημένῃ χρείᾳ καὶ διανέμειν τοῖς ναυκλήροις κατὰ τὸ μέχρι ⟨νῦν⟩ εἰθισμένον, συνανιόντος καὶ συγκινδυνεύοντος τῷ αὐτῷ ἀποδέκτῃ τῶν ναύλων πρὸς ἅπαντα τοῦ περιβλέπτου αὐγουσταλίου τῆς τε πειθομένης αὐτῷ τάξεως καὶ τῶν ἀνδρειοτάτων ταγμάτων τῶν ἐν τοῖς τόποις ὄντων σὺν τοῖς αὐτῶν τριβούνοις. οἷα προσῆκον ἐκ τρόπου παντὸς τὸν τῶν ναύλων ἀποπληροῦσθαι λόγον καὶ δίδοσθαι τοῦτον τῷ ἀποδέκτῃ καὶ δι' αὐτοῦ κατὰ τὸν προσήκοντα καὶ νενομισμένον διοικεῖσθαι τρόπον καὶ παρέχεσθαι τοῖς ναυκλήροις ὑπὲρ πάσης τῆς αἰσίας ἐμβολῆς. καὶ αὕτη μὲν πρώτη φροντὶς καὶ διοίκησις ἑαυτῇ συνημμένη γενήσεται, ἥ τε τῆς αἰσίας ἐμβολῆς ἥ τε τῶν ναύλων.

CAPUT IX.

Ἐν δευτέρᾳ δὲ τάξει βουλόμεθα τήν τε σὴν ὑπεροχὴν καὶ τὸν κατὰ καιρὸν ἄρχοντα ταύτης τῆς ἀρχῆς καὶ τούς τε σκρινιαρίους καὶ τρακτευτὰς δύο τε Αἰγύπτων καὶ Ἀλεξανδρείας προνοεῖν τῆς εἰσπράξεως τῶν δημοσίων φόρων τῶν εἰς ἑκατέραν τράπεζαν εἰσφερομένων τοῦ δικαστηρίου τῆς σῆς ὑπεροχῆς, τήν τε ἰδικὴν τήν τε γενικήν, δηλαδὴ ἐξ ἐκείνων τῶν πόλεων καὶ τῶν προσώπων καὶ τῶν τούτων ἐγγυητῶν καὶ τῶν τόπων τῶν εἰς τοῦτο τὸ μέρος ἀφορισθέντων, ὑποτεταγμένων καὶ αὐτῶν τῇδε τῇ θείᾳ νομοθεσίᾳ. οὐ δυναμένων παντελῶς οὐδὲ τοῦ περιβλέπτου αὐγουσταλίου οὐδὲ τῆς πειθομένης αὐτῷ τάξεως οὐδὲ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων λόγον παρέχειν ἢ ἐξαιρεῖσθαι τῆς εἰσπράξεως τῆς δημοσίας τινὰς ἢ ἐπικοινωνεῖν καθ' οἱανοῦν αἰτίαν τῇ εἰρημένῃ εἰσπράξει τῇ ἀνηκούσῃ ταῖς τραπέζαις τῆς σῆς ὑπεροχῆς ἢ τοῖς προσώποις τοῖς ἀφωρισμένοις αὐτῇ, πλὴν εἰ μὴ βοηθείας ἕνεκα τοῦτο αἰτήσειαν γενέσθαι οἱ τρακτευταὶ καὶ

---

naulorum susceptori volumus non licere omnibus sese immiscere publicis tributis, et nonnullis debitorum remittere et endomatica quae vocantur percipere itaque fiscum neglegere, ab aliis vero praeter id quod convenit exigere et plus forte quam antea et praeter legitima tempora, indeque occasionem petere et initium confundendae rei, naulorum necessitatem semper praetendenti, ex confusione vero suum ipsius commodum captanti, et mensas tui tribunalis despicienti, similiter vero omnia lucri causa sibi subicere conanti.

VIII. *Quoniam igitur sublimitas tua vigilanter cuncta administrans nos edocuit, quantus computetur naulorum canon ex Alexandrinorum urbe subministratus, ad octoginta milia aureorum, etiam felici frumenti missione octogies centena milia complente, volumus haec octoginta milia aureorum dari naulorum susceptori ex subiectis provinciis et urbibus et locis et personis: ideo enim hanc delegationem largam fecimus, ne quid omnino neque ex dilatione neque ex defectu felicis frumenti missionis accidat. Spectabilis autem Augustalis et quod ei paret officium, ad unam ut dictum est ex augustalianis et qui prius fuerant ducianis coniunctionem et confusionem redactum, exactiones facient ex urbibus et locis et personis delegatis naulorum susceptori ex Alexandrinorum urbe et utraque Aegypto, similiter ipso quoque naulorum susceptore hanc exactionem faciente, ut proprio periculo et Augustalis sicut dictum est et eius officium haec exigat una cum susceptore naulorum. Cui ipsi quoque periculum imminet horum exactionis, ut sine reprehensione aurum exigat et in hunc usum expendat et naviculariis distribuat sicut hactenus moris fuit; cum eodem naulorum susceptore haec peragente et periculum subeunte in omnibus Augustali et officio quod ei paret et fortissimis cohortibus per loca constitutis cum suis tribunis. Oportet enim omni modo naulorum rationem compleri et tradi susceptori et ab eo iustum et legitimum in modum administrari et naviculariis praestari pro tota felici embola. Et haec quidem prima cura erit et administratio secum coniuncta, felicis embolae et naulorum.*

IX. *Secundo autem loco volumus sublimitatem tuam et qui quoque tempore hunc magistratum gesturus est et scriniarios et tractatores utriusque Aegypti et Alexandriae prospicere exactioni publicorum tributorum ad utramque mensam tribunalis tuae sublimitatis conferendorum et specialem et generalem nimirum, ex urbibus et personis earumque fideiussoribus et locis ad hanc partem deputatis, subiectis et ipsis huic sacrae legi. Nec possit omnino neque spectabilis Augustalis neque officium ei parens nec dei amantissimus episcopus Alexandrinorum λόγον dare aut eximere quosdam a publica exactione aut immiscere se ullam ob causam huic exactioni ad sublimitatis tuae mensas sive personas ad eam deputatas pertinenti, nisi auxilii gratia hoc ut fiat petierint tractatores et qui locum eorum in provincia supplent.*

---

3 *πλεῖον ἴσως ἢ πρότερον Kroll*] *πλείονες ὡς βιότερον M, πλεῖον ἢ ὡς πρότερον Zachariae* ‖ 4 *καιρούς add. Zachariae* ‖ 11 *προσώπων Osenbrüggen*] *προσόδων M* ‖ 18 *ᾧ add. Kroll* ‖ 20 *νῦν add. Scrimger* ‖ *συνκινδυνεύοντος M* ‖ 23 *ἀποκληροῦσθαι M, corr. Agylaeus* ‖ 25 *αὐτῇ Zachariae male* ‖ 28 *Αἰγύπτων Zachariae*] *ἀπ' αἰγύπτου M* ‖ 29 *τῇ τε ἰδικῇ τῇ τε γενικῇ M, corr. Zachariae* ‖ 33 *τῆς Zachariae*] *τῶν M* ‖ *τῶν δημοσίων Zachariae* ‖ 35 *αὐτῷ M, corr. Zachariae*

*οἱ τὸν αὐτῶν πληροῦντες τόπον κατὰ χώραν. εἰ γὰρ τοῦτο αἰτήσουσιν ἢ εἴπερ προστάξαιεν ἡ σὴ ἐνδοξότης καὶ οἱ κατὰ καιρὸν τὴν αὐτὴν ἔχοντες ἀρχήν, ἀνάγκην ἕξει ὅ τε κατὰ καιρὸν αὐγουστάλιος καὶ οἱ ὑπ' αὐτὸν καθωσιωμένοι στρατιῶται καὶ οἱ τούτων τριβοῦνοι καὶ ἡ πειθομένη τάξις τῷ αὐτῷ μεγαλοπρεπεστάτῳ αὐγουσταλίῳ καὶ πᾶσα πολιτικὴ καὶ δημοσία βοήθεια, καὶ ἐπαμύνειν τοῖς σκρινιαρίοις τοῖς σοῖς καὶ παρασκευάζειν ἅπαντας τοὺς ὑποκειμένους ταῖς τοιαύταις εἰσφοραῖς ταῖς ἁρμοζούσαις ἑκατέρᾳ τραπέζῃ τοῦ δικαστηρίου τῆς σῆς ὑπεροχῆς, δίχα τῆς οἱασοῦν ἀναβολῆς τοὺς ἐπικειμένους αὐτοῖς εἰσφέρειν δημοσίους φόρους καὶ μὴ τολμᾶν ἀντιλέγειν. εἰ γάρ ⟨τις⟩ τῶν ἐξ ἑκατέρας Αἰγύπτου ἢ τῶν κατὰ τὴν Ἀλεξάνδρειαν οἰκούντων καὶ ὑποκειμένων ταῖς τοιαύταις εἰσφοραῖς (ἐξῃρημένου τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς πόλεως, περὶ ὧν ἐν τοῖς ἐφεξῆς τὰ προσήκοντα διατυπώσομεν) τολμήσειεν ἀντιβλέψαι πρὸς τὴν δόσιν ἢ κατά τι ἐναντιωθῆναι, καὶ μὴ ὁ περίβλεπτος αὐγουστάλιος ἔχων καὶ τὴν στρατιωτικὴν καὶ τὴν πολιτικὴν ἀρχὴν καὶ οἱ τῶν ταγμάτων πρωτεύοντες καὶ τριβοῦνοι καταναγκάσουσιν αὐτὸν ἢ αὐτοὺς τὰ ὀφειλόμενα εἰσενεγκεῖν καὶ τὴν εὐγνωμοσύνην τὴν πρὸς τὸ δημόσιον ἀγαπῆσαι, ἴστωσαν, ὡς αὐτὸς μὲν ὁ μεγαλοπρεπέστατος αὐγουστάλιος καὶ πᾶσα βοήθεια ἧς ἔμπροσθεν ἐμνήσθημεν κινδυνεύσουσιν ἐπί τε ταῖς ζώναις * * * εἰς τὸ δημόσιον καὶ εἰς μέρος τῶν ὀφειλομένων καταλογιζομέναις, οἱ δὲ ἀντειπεῖν θαῤῥήσαντες δημοσίαν ὄψονται τὴν ἑαυτῶν περιουσίαν γενομένην καὶ ἑαυτοὺς ἔξω τῆς χώρας ἐλαυνομένους. πρόδηλον δέ, ὡς πᾶσι τοῖς διαταχθησομένοις παρὰ τῆς σῆς ὑπεροχῆς ὁ κατὰ καιρὸν αὐγουστάλιος ὑποκείσεται τῇ τῆς σῆς ὑπεροχῆς ἐξουσίᾳ τε καὶ ἀρχῇ, καθάπερ μέχρι τοῦ παρόντος πεφύλακται*

CAPUT X.

Εἰ μέντοι βουληθῇ ἡ σὴ ἐνδοξότης ἢ οἱ σκρινιάριοι ἢ οἱ τρακτευταὶ ἢ οἱ τὸν ἐκείνων πληροῦντες τόπον κατὰ χώραν λόγον τισὶ δοθῆναι προσώποις, ὑπὲρ αὐτῶν αὐτοὶ κινδυνεύσουσιν· δώσει μέντοι τοῦτον ὁ θεοφιλέστατος πατριάρχης ἐπὶ τοσαύτας ἡμέρας ἐκτεινόμενον καὶ ἐπὶ τούτοις τοῖς ὅροις, ἐφ' οἷς ἂν παρὰ τῆς ἀρχῆς τῆς σῆς ὑπεροχῆς προσταχθείη ἢ παρὰ τῶν τρακτευτῶν αἰτηθείη. εἰ δὲ παρὰ ταῦτα γένοιτό τις λόγου δόσις, αὐτὴ παντελῶς ἔσται ἄκυρος. οὐδὲ γὰρ δι' οἱασδηποτοῦν αἰτίας λόγον τινὰ παρὰ ταῦτα παρέχειν τοῖς προσώποις τοῖς ἑκάστῃ ἀφωρισμένοις αἰτίᾳ συγχωροῦμεν, πλὴν εἰ μὴ ἐπὶ τούτῳ τὸν λόγον λάβοιεν, ἐφ' ᾧτε δημοσίᾳ φαίνεσθαι καὶ πάντως εἴσω ῥητῶν ἡμερῶν πᾶν ὅσον ὀφείλουσι τὸ δημόσιον ἐκπληρῶσαι ἢ τὴν ἀποχρῶσαν τοῖς τρακτευταῖς ἢ σκρινιαρίοις παρέχειν ἀσφάλειαν· πρὸς τῷ τὸν παρὰ ταῦτα εἰληφότα λόγον παρ' οἱουδήποτε προσώπου ἴσον τοῖς ἀμπλακοῦσιν εἶναι καὶ ὑπομένειν τὴν εἴσπραξιν καὶ ἔνδον τῶν ἁγίων περιβόλων.
1 *εἰ δὲ ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος παρὰ τὰ εἰρημένα δοίη λόγον, ἀνάγκην ἕξουσιν οἱ θεοφιλέστατοι*
οἰκονόμοι καὶ οἱ ἐκκλησιέκδικοι τῆς ἁγιωτάτης ἐκκλησίας τὴν ἐντεῦθεν συμβαίνουσαν τῷ δημοσίῳ ζημίαν
ἐπιγνῶναι οἴκοθεν καὶ ἐκ τῆς ἰδίας αὐτῶν ὑποστάσεως. εἰ δὲ μὴ εὐπορήσειαν, ἐκ τῶν τῆς ἁγιωτάτης ἐκκλη-
2 *σίας χρημάτων τε καὶ πραγμάτων τὸ ἱκανὸν τῷ δημοσίῳ γενήσεται. εἰ δὲ τολμήσουσι παρὰ γνώμην τοῦ*
θεοφιλεστάτου ἐπισκόπου αὐτοὶ δοῦναι λόγον, οὐ μόνον ἔσται τὸ δεδομένον παντελῶς ἄκυρον, ἀλλ' αὐτοὶ τὴν
ζημίαν θεραπεύσουσι τῷ δημοσίῳ, τοῦ μακαριωτάτου πατριάρχου, εἰ τοῦτο παρὰ γνώμην αὐτοῦ πράξειαν, πάντως
3 *αὐτοὺς καὶ ἀποκινοῦντος τῶν φροντίσεων ὧν ἔχουσι καὶ τῆς ἱερωσύνης ἐκβάλλοντος. εἰ δὲ ἄρχων παρὰ*
τὰ διηγορευμένα δοίη τινὶ λόγον ὀφείλοντι δημόσια ταῖς σαῖς τραπέζαις ἀφωρισμένα, τουτέστιν ἢ ὁ αὐγου-

---

Si enim hoc petent, aut si iusserit gloria tua et qui quoque tempore eandem administrationem obtinent, necesse habebit qui tunc est Augustalis et qui sub eo sunt devoti milites eorumque tribuni et officium eidem magnificentissimo Augustali parens et omne civile et publicum adiutorium, scriniariis tuis succurrere et perficere ut omnes, quicunque eiusmodi illationibus utrique mensae tribunalis tuae sublimitatis competentibus obnoxii sunt, sine ulla mora imposita sibi publica tributa inferant neque contradicere audeant. Si quis enim ex iis, qui in utraque Aegypto aut Alexandriae habitant et talibus illationibus obnoxii sunt (excepta Mareota et Menelaita urbe, de quibus in sequentibus quae aequa sunt statuemus), recusare solutionem aut in aliqua re adversari audeat, et spectabilis Augustalis tam militarem quam civilem magistratum habens et cohortium principes et tribuni non coegerint eum vel eos debita inferre et probitati erga fiscum studere, sciant ipsum magnificentissimum Augustalem et omne adiutorium cuius modo mentionem fecimus periculum subituros esse circa cingula .... fisco inferendas et in partem debitorum imputandas; qui autem adversari ausi erunt, bona sua publicari videbunt seque e serra eiectos. Manifestum vero est in omnibus quae a sublimitate tua constituentur eum, qui quoque tempore est Augustalis, tuae sublimitatis potestati et imperio subiectum fore, sicuti usque ad praesens tempus observatum est.

X. *Si tamen voluerit gloria tua aut scriniarii vel tractatores vel qui eorum locum in provincia obtinent, λόγον quibusdam personis dari, pro iis ipsi periculum sustinebunt; dabit autem eum dei amantissimus patriarcha in tot dies extensum et sub eis condicionibus, sub quibus tuae excellentiae imperio statutum aut a tractatoribus petitum sit. Si vero praeter haec λόγος detur, datio penitus irrita erit. Neque enim ullis ex causis ut praeter haec aliquis asyli λόγον praebeat personis singulis titulis delegatis concedimus, nisi ea condicione λόγον accipiant, ut in publico versentur et omnino intra certos dies omne quod debent fisco exsolvant aut sufficientem tractatoribus scriniariisve cautionem praestent. Accedit ut qui praeter haec λόγον a qualibet persona accepit, aequalis sit eis qui non acceperunt et intra sancta*
1 *quoque saepta exactionem sustineat. Si vero dei amantissimus archiepiscopus contra ea quae diximus*
λόγον dederit, necessario dei amantissimi oeconomi et defensores sanctissimae ecclesiae damnum hinc publico
illatum de suo et de propria substantia restituent. Si vero locupletes non sint, ex pecuniis et rebus sanctis-
2 *simae ecclesiae fisco satisfiet. Quod si ipsi invito dei amantissimo archiepiscopo λόγον dare ausi erunt,*
non modo quod datum est penitus irritum erit, sed ipsi damnum publico restituent, et beatissimus patri-
archa, si hoc praeter eius voluntatem fecerint, omnino eos a ministeriis quae habent removebit et e sacer-
3 *dotio eiciet. Sin autem iudex contra ea quae sanximus dederit λόγον alicui qui publica mensis tuis*

---

1 *malim* προστάξειεν ‖ 2 ὑπ' αυτῶν *M* ‖ 6 αὐτοὺς *M* ‖ 7 τις *inserui* (*post* τολμήσειε *Zachariae*) ‖ 13 *aliquid excidisse vidit Zachariae, qui supplet* καὶ ἐπὶ ταῖς ποιναῖς δοθησομέναις *non recte; fuit fere* καὶ ἐπὶ ταῖς σιτήσεσι καταβαλλομέναις ‖ 14 οἵ τε ἀντιπεῖν *M* ‖ 15 *malim* ὡς ἐν πᾶσι ‖ 16 τῇ *om. cum Scrimgero vulg.* ‖ 18 τὸν] τῶν *M* ‖ 21 αὐτῇ *M* ‖ 22 ἄκυρος *Agylaeus*] κυρία *M* ‖ οὐδὲ γὰρ δι' οἱασδηποτοῦν *Kroll*] οὔτε γὰρ δίδομεν δήποτε γοῦν *M* (*an* γοῦν *del.*?) ‖ αἰτίας] ἀσυλίας *Zachariae* (*idem* οὔτε λαμβάνειν *addit post* παρέχειν) ‖ 25 τῷ *Zachariae*] τὸ *M* ‖ 26 προσώπου ἴσον *Zachariae*] τρύπου ἴσως *M* ‖ ἀμπλακοῦσιν *Kroll*] ἀπολαμβάνουσιν *M*, οὐκ ἀπολ. *Zachariae* ‖ 29 ἐπιγνῶναι *om.* M^a, *supra lineam add.* M^b ‖ 31 δεδομένον *Kroll*] λεγόμενον *M* ‖ 32 τοῦτο *Osenbrüggen*] τι τὸ *M* (*an* τι τοιοῦτο?) ‖ 33 *praestat* φροντίδων *vel* φροντισμάτων

στάλιος ἢ οἱ λαμπρότατοι τριβοῦνοι ⟨ἢ⟩ οἱ πρωτεύοντες τῶν ταγμάτων, τῆς τε ἀξίας καὶ τῆς ἀρχῆς παραλυθήσονται καὶ θεραπεύσουσι τῷ δημοσίῳ τὴν αὐτὴν ζημίαν καὶ ἰδιῶται γενόμενοι, καὶ οὐ περιόντες μόνον ἀλλὰ δὴ καὶ τελευτήσαντες· ἐνέξονται γὰρ αὐτοὶ καὶ κληρονόμοι ταῖς τοιαύταις ἀπαιτήσεσι καὶ τὰ αὐτῶν πράγματα, ὥστε εὐλαβείᾳ τῶν ποινῶν μηδὲν ἁμαρτάνεσθαι τοιοῦτον μηδὲ διαφεύγειν τὴν ποινήν, ἄχρις ἂν
4 τὸ πᾶν ὄφλημα διαλυθείη. εἰ δέ τις ἐναγόμενον ἀφέλοιτο πρόσωπον ἐκ τῶν ἁγίων περιβόλων ἢ τόπων ἢ καὶ ἐμποδὼν τῇ ἀπαιτήσει ἔσται, δεῖ καὶ τοῦτον ὁμοίως παντὸς οὗπερ ὁ ἀφαιρεθεὶς ὑπεύθυνος γέγονεν ἔνοχον εἶναι καὶ ἀπαιτεῖσθαι σὺν κληρονόμοις ἰδίοις καὶ διαδόχοις καὶ τοῖς αὐτοῦ πράγμασιν. ἀλλ' αὐτοὺς ὡς εἴρηται τοὺς καὶ τὸν πάντα κίνδυνον ἔχοντας ἐπὶ τούτῳ (φαμὲν δὴ τοὺς τρακτευτὰς καὶ σκρινιαρίους) αὐτοὺς καὶ τὴν πᾶσαν ἐξουσίαν καὶ τὴν διοίκησιν τοῦ πράγματος ἔχειν, καὶ πάντα τὸν κανόνα ταῖς τραπέζαις ταῖς σαῖς ἐκ τῶν εἰρημένων διαφέροντα πόλεών τε καὶ ἐπαρχιῶν καὶ τόπων ἐκπέμπειν ταῖς τραπέζαις τῆς σῆς ὑπεροχῆς, τῇ τε γενικῇ τῇ τε ἰδικῇ, καὶ τοῖς ἄλλοις ἐπιδιδόναι οἷς ἂν αὐτὸς διατυπώσειας.

CAPUT XI.

Ἡμεῖς δὲ θεσπίζομεν, ἀνάγκην ἔχειν τὸν περίβλεπτον αὐγουστάλιον καὶ ἐπαμύνειν τοῖς τε παρὰ τοῦ σοῦ θρόνου στελλομένοις εἰς τοῦτο καὶ τοῖς τρακτευταῖς καὶ σκρινιαρίοις ἤτοι τῷ πληροῦντι τὸν αὐτῶν τόπον
1 ἐπὶ ταῖς εἰσπράξεσι ταῖς ὁρώσαις αὐτοὺς καὶ εἰς τὴν γενικὴν καὶ ἰδικὴν ἀναφερομέναις τράπεζαν. εἰ δέ τινας συμβαίη τῶν ἐκ τῶν εἰρημένων χωρῶν ἀγνωμονεῖν περὶ τὸ δημόσιον καί τινα ταραχὴν πειρᾶσθαι ποιεῖν, ἵνα διαφύγοιεν τὴν εἴσπραξιν, θεσπίζομεν ἄδειαν ἔχειν τὸν τρακτευτὴν ἤτοι τοὺς σκρινιαρίους ἤτοι τὸν ἐπέχοντα τὴν τάξιν αὐτῶν δῆλα ταῦτα καθιστᾶν τῷ μεγαλοπρεπεστάτῳ αὐγουσταλίῳ, τὸν δὲ οἰκείῳ κινδύνῳ καὶ τῆς πειθομένης αὐτῷ τάξεως καταναγκάζειν τοὺς στρατιώτας ἀμύνειν τῷ πράγματι καὶ συνέχειν τοὺς ἀγνωμονοῦντας καὶ ἀπαιτεῖν τὰ ταῖς ⟨σαῖς⟩ τραπέζαις ὀφειλόμενα οἰκείῳ κινδύνῳ, ὥστε διά τε τῆς πολιτικῆς διά τε τῆς στρατιωτικῆς χειρὸς ταῦτα ἀνυόμενα ἀνυπέρθετον ἔχειν τὴν εἴσπραξιν τήν τε ἐπὶ τὴν μεγάλην ταύτην πόλιν εἰσφοράν. εἰδότων τῶν τε λαμπροτάτων τριβούνων τῶν [τε] ἀνδρειοτάτων στρατιωτῶν καὶ μάλιστα τῶν ἐν αὐτοῖς πρωτευόντων, ὅτι τούτου εἰ ῥαθυμήσειαν καὶ μὴ παρασκευάσουσιν αὐτοὺς ἅπαντα πρᾶξαι ὁπόσα εἰρήκαμεν, καὶ περὶ τῶν σιτήσεων κινδυνεύσουσι· παρακατασχεθήσονται γὰρ αὗται παρὰ τοῦ κατὰ καιρὸν αὐγουσταλίου καὶ εἰσκομισθήσονται ταῖς σαῖς τραπέζαις οἰκείῳ κινδύνῳ, καὶ δήμευσιν ὑποστήσονται οἵ τε λαμπρότατοι αὐτῶν τριβοῦνοι καὶ οἱ ἐν αὐτοῖς πρωτεύοντες (οἵπερ καὶ κεφαλικὴν τιμωρίαν εὐλαβείσθωσαν), καὶ τὸ πᾶν τάγμα μεταστὰν ἐκ τῆς χώρας ἐν τοῖς πορρωτέρω τοῦ Ἴστρου ἤτοι Δανου-
2 βίου ποταμοῦ τόποις μετατεθήσεται, τοῖς ἐκεῖσε λιμιτοῖς τῆς παραφυλακῆς ἕνεκα προσκαρτερῆσον. αὐτοί τε οἱ πρὸς τὸ δημόσιον ἀγνωμονήσαντες καὶ τὴν τοιαύτην ἀνάγκην ἀναμείναντες δήμευσίν τε καὶ ἐξορίαν ὑποστήσονται διηνεκῆ, τὴν Σεβαστουπολιτῶν καὶ Πιτυούντων, αἵπερ εἰσὶν ἐπ' ἐσχάτου τῆς * * * τοῦ Εὐξείνου Πόντου κατοικήσοντες. Τὴν δὲ αὐτὴν καὶ ὁμοίαν φροντίδα τῷ περιβλέπτῳ αὐγουσταλίῳ ἐπιτίθεμεν καὶ προφάσει τῶν largitionalicῶν τίτλων καὶ πάντων τῶν προσηκόντων εἰς τὰς θείας ἡμῶν λαργιτιόνας, ἀνυομένων παρ' αὐτοῦ καὶ τῆς αὐτοῦ τάξεως εἴτε κατὰ τὴν Ἀλεξανδρέων αὐτὴν εἴτε κατὰ Αἰγύπτους ἀμφοτέρας. καὶ γὰρ τούτων ἡμῖν ἡ αὐτὴ καθέστηκε φροντίς, καὶ προσῆκόν ἐστιν αὐτόν τε καὶ τὴν αὐτοῦ τάξιν κινδύνῳ οἰκείῳ προνοεῖν τῆς εἰσπράξεως τῶν largitionalicῶν τελῶν καὶ τῶν αἰτιῶν ἁπασῶν τῶν εἰς τὰς θείας ἡμῶν

---

deputata debet, id est sive Augustalis sive clarissimi tribuni sive priores cohortium, dignitate et magistratu privabuntur et fisco hoc damnum restituent etiam cum privati facti erunt, nec viventes solum verum etiam defuncti: tenebuntur enim ipsi heredesque eiusmodi exactionibus et res eorum, ut poenarum metu nihil
4 tale committatur nec poenam effugiat, donec debitum totum exsolutum sit. Si quis autem personam ream e sanctis saeptis vel locis abstraxerit aut etiam exactioni impedimento sit, oportet etiam hunc omnibus omnino quibus exemptus tenebatur obstrictum et exactioni cum heredibus suis et successoribus et rebus suis obnoxium esse. Eos vero ut dictum est, qui omne periculum huius rei subeunt, tractatores dicimus et scriniarios, eos etiam omnem potestatem et curam rei habere totumque canonem qui mensis tuis ex dictis urbibus et provinciis et locis competit transmittere mensis sublimitatis tuae, et generali et speciali, aliisque tradere quibus ipse constitueris.

XI. *Nos autem sancimus spectabilem Augustalem necesse habere etiam opem ferre tam eis qui ad hoc a sede tua mittuntur quam tractatoribus et scriniariis sive ei qui eorum locum explet in exactionibus ad eos pertinentibus et ad generalem et specialem mensam referendis. Si qui autem ex dictis terris improbi circa fiscum fuerint et aliquem tumultum excitare studuerint, ut exactionem effugiant, sancimus licere tractatori sive scriniariis sive ei qui locum eorum obtinet de his certiorem facere magnificentissimum Augustalem, hunc vero sui ipsius et officii ei parentis periculo cogere milites subvenire rei et comprehendere improbos et exigere quae mensis tuis debentur proprio periculo, ut tam civili quam militari manu haec agitata sine dilatione exigantur et in magnam hanc urbem importentur. Et sciant clarissimi tribuni fortissimorum militum et maxime primates eorum, sese si hoc neglexerint nec omnia facere eos compulerint quae diximus, annonis quoque periclitaturos; retinebuntur enim hae ab eo qui tum Augustalis erit et inferentur mensis tuis ipsius periculo, et bonorum publicationem sustinebunt clarissimi eorum tribuni et qui inter ipsos primates sunt (qui etiam capitalem poenam metuant), et universa cohors e regione mota in loca quae ultra Istrum sive Danubium sunt transferetur, ut illis limitibus custodiae causa ad-*
*2 haereat. Eique ipsi qui in fiscum improbi fuerunt et talem necessitatem expectaverunt, publicationem bonorum et exilium sustinebunt perpetuum, in Sebastopolitanorum et Pityuntium urbibus quae sunt in ore ultimo * * * et Ponti Euxini habitaturi. Eandem vero et aequalem curam spectabili Augustali imponimus etiam largitionalium titulorum nomine et omnium quae ad sacras nostras largitiones pertinent, quae ab ipso officioque eius sive in ipsa Alexandrinorum urbe sive in utraque Aegypto expediuntur. Nam haec quoque aeque nobis curae sunt, et oportet eum eiusque officium proprio periculo curare exactionem largitionalium vectigalium et omnium titulorum qui ad sacras nostras largitiones pertinent, ut*

---

1 ἢ *add. Zachariae* (*cf.* 784, 10. 785, 21. 25) ‖ 5 ἁγίων περιβόλων *Zachariae*] αὐτῶν πόλεων *M* ‖ 6 πάντως *M*, *corr. Zachariae* ‖ 8 ἐπὶ *Zachariae*] καὶ *M* ‖ 14 ἀναφερομένων *M*, *corr. Zachariae* ‖ 15 τινα *M* ‖ 19 σαῖς *add. Kroll* ‖ 21 τε *prius om. cum Scrimgero vulg.* ‖ τε *alterum del. Zachariae* (*cf.* αὐτοὺς *l.* 22) ‖ 22 *post* ὅτι *lac.* 5 *fere litt. in M* (ὅτιπερ?) ‖ 27 λιμίταις *M* ‖ τῆς] τοῖς *M* ‖ 28 ἀναγκαίαν *M*, *corr. Agylaeus* ‖ 29 τὴν *Kroll*] τῇ *M* ‖ ἥπερ ἐστὶν *cum Scrimgero vulg.* ‖ *post* τησ (*sic*) *lac.* 10 *fere litt. in M*, τῆς ⟨Ἀβασγίας καὶ⟩ *Zachariae*, *malim* τῆς ⟨ὑπηκόου ἐπί⟩ *cl.* 31, 26 ‖ 31 largitiovalicῶn *M* ‖ 33 ἡ αὐτὴ *Zachariae*] αὕτη *M* ‖ 34 largitionalicωn *M*

ἀνηκουσῶν largitiόνας, *ὥστε τὰς τοιαύτας δημοσίας εἰσφορὰς τὰς τοῖς θείοις ἡμῶν ἁρμοττούσας θησαυροῖς καὶ εἰσπράττεσθαι καὶ ταῖς θείαις ἡμῶν εἰσφέρεσθαι* largitiόσι *μετὰ παντὸς κινδύνου τοῦ περιβλέπτου αὐγουσταλίου καὶ τῆς πειθομένης αὐτῷ τάξεως. εἰ γάρ τι τούτων ἀμεληθείη, κίνδυνος αὐτὸν περιστήσεται ἐπί τε τῇ ἀρχῇ ἐπί τε τῇ περιουσίᾳ τῇ οἰκείᾳ, καὶ οὐ μόνον ἕως ἐπὶ τῆς ἀρχῆς ἐστιν, ἀλλὰ καὶ ὕστερον καὶ ἐπειδὰν ταύτην ἀπόθοιτο καὶ κατὰ διαδόχων αὐτοῦ καὶ κληρονόμων· ἐνέξεται γὰρ ταῖς τοιαύταις εἰσπράξεσιν οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ κληρονόμοι αὐτοῦ καὶ διάδοχοι, ἕως ἂν πάντα ἐκπληρώσειαν τὰ ταῖς θείαις ἡμῶν*
3 largitiόσιν *ἐκ τῶν ὑποτεταγμένων αὐτῷ τόπων ὀφειλόμενα. καὶ οὔτε λόγον ἀσυλίας τις παρέξει τοῖς ὑποκειμένοις αὐτῷ πλὴν ἐκείνων, οἳ καὶ τὸν κίνδυνον * * * τῆς εἰσπράξεως καθάπερ εἴρηται γινομένης κινδύνῳ τοῦ κατὰ καιρὸν περιβλέπτου αὐγουσταλίου καὶ τῆς πειθομένης αὐτῷ τάξεως, τῶν δὲ χρημάτων καταβαλλομένων ἐπὶ τοὺς καθωσιωμένους τῶν θείων* largitiόνων *παλατίνους, οἷς τούτου μέλει τοῦ μέρους, καὶ τοὺς ἄλλως στελλομένους ἐπὶ τοῦτο παρὰ τοῦ προεστῶτος τῆς αὐτῆς εὐκλεοῦς ἀρχῆς ἐνδοξοτάτου ἄρχοντος. καὶ οὔτε λόγον συγχωρήσουσι δοῦναί τινα παρὰ τὰ ἔμπροσθεν διηγορευμένα οὔτε ἐμπόδισμά τι γενέσθαι περὶ τὰς εἰσπράξεις. οἵ τε καθωσιωμένοι στρατιῶται [ἢ] οἱ ἐν ταῖς χώραις ἐκείναις καὶ ἐν ταῖς πόλεσιν ὄντες τὰ αὐτὰ πείσονται, εἰ μὴ κἀκεῖνοι ἀμύνοιεν καὶ ἐκ τρόπου παντὸς ἀνυσθείη τὰ* largitionalicὰ *χρήματα καὶ ἐπὶ τοὺς εἰς τοῦτο στελλομένους καταβληθείη, καὶ γένηται ἐπ' αὐτοῖς πᾶσα προθυμία καὶ εἴσπραξις, ὅσην καὶ ἐπὶ τοῖς ἀρκαρίοις γενέσθαι διεταξάμεθα.*

CAPUT XII.

Δίδομεν δὲ καὶ ἐκεῖνο τῷ περιβλέπτῳ αὐγουσταλίῳ, ὥστε ἐφ' ἅπασι διακελεύεσθαι καὶ στρατιώταις καὶ παγάρχαις καὶ τοῖς τὰ δημόσια πράττουσι τὰ ὑπὸ τὴν αὐτοῦ καθεστῶτα διοίκησίν τε καὶ ἐξουσίαν, οὐ μέντοι δύνασθαι τοὺς παγάρχας ἀγνωμονοῦντας ἢ περὶ τὸν σῖτον ἢ περὶ τὰ ναῦλα ἢ περὶ τὰ ἄλλα δημόσια τὰ ἀνήκοντα ταῖς εἰρημέναις αἰτίαις ἢ ταῖς κατὰ χώραν δαπάναις ἀποκινεῖν κατ' ἐξουσίαν· ἀλλ' εἴ τι πράττοιεν κακόν, οὐκ ἀποκινήσει μὲν αὐτούς, ἐν ἀσφαλείᾳ δὲ καταστήσει καὶ περισκοπήσει ἑτέρους τοὺς τῷ πράγματι χρησομένους ὀρθῶς καὶ ἅπαντα μηνύσει ἐνταῦθα τῷ θρόνῳ τῷ σῷ καὶ δι' αὐτοῦ τῇ βασιλείᾳ, ὥστε ἡμᾶς πάντα γινώσκοντας τὰ προσήκοντα πράττειν ἐπί τε τῇ τῶν οὐκ ὀρθῶς τῷ πράγματι χρησαμένων ἐκβολῇ ἐπί τε τῇ τῶν ἐπιλεγέντων παγαρχῶν εἴ γε συνίδοιμεν ἐγκαταστάσει καὶ παραδόσει τῶν τε εἰς τὰς
1 *παγαρχίας ἀνηκόντων τῶν τε εἰς τὰς οὐσίας τὰς αὐτῶν. ἀλλὰ καὶ ⟨οἱ⟩ πολιτευόμενοι οἵ τε κατὰ Ἀλεξάνδρειαν οἵ τε κατὰ τὰς δύο Αἰγύπτους ὑποκείσονται αὐτῷ, καὶ πάντες ὅσοι δημόσια χειρίζουσιν ἐν ταῖς ὑποκειμέναις αὐτῷ χώραις ταῖς εἰσπράξεσιν ἀπονενεμημένα ταῖς αὐτοῦ· ἄδειαν ἔχοντος, κἂν εἰς ἑτέρας τινὰς εἶεν χώρας τὰς μὴ ὑποκειμένας αὐτῷ, καὶ ἄγειν πρὸς ἑαυτὸν καὶ εἰσπράττειν τὰ δημόσια, καὶ εἴ τινες τῶν κεκτημένων ἐπὶ Ἀλεξανδρείας ἢ ἐν Αἰγύπτοις δύο ἑτέρωθι διάγοιεν ἢ οἰκοῖεν ⟨ἐν⟩ ἐπαρχίαις οὐχ ὑποκειμέναις αὐτῷ, καὶ τούτους ἐπαναγαγεῖν εἰς ἣν ἀπέλιπον χώραν, ὥστε μηδὲν ἐμπόδισμα τοῖς δημοσίοις γενέσθαι τοῖς ὑποκειμένοις αὐτῷ. ταὐτοῦ τούτου πραττομένου, εἰ καί τινες ὀφείλοιεν δημόσια ἀνήκοντα ταῖς τραπέζαις ταῖς σαῖς, καὶ οἱ τρακτευταὶ καὶ οἱ τὸν ἐκείνων πληροῦντες τόπον καὶ ὑποκείμενοι ταῖς εἰσπράξεσι τῆς γενικῆς καὶ ἰδικῆς τραπέζης τοιοῦτό τι δῆλον αὐτῷ καταστήσειαν· καὶ ἐπὶ τούτῳ γὰρ ὁμοίως καὶ ἐκπέμψει*

---

huiusmodi publicae illationes quae sacris nostris thesauris competunt et exigantur et sacris nostris largitionibus inferantur cum omni periculo spectabilis Augustalis et officii ei obtemperantis. Si quid enim horum neglectum erit, periculum ei imminebit tam de magistratu quam de substantia propria, idque non solum dum in administratione erit, sed postea quoque et postquam eam deposuerit, et in successoribus eius et heredibus; etenim obnoxius erit talibus exactionibus non ipse solum, sed heredes quoque eius et
3 *successores, donec cuncta expleverint quae sacris nostris largitionibus debentur ex locis ei subiectis. Nec λόγον ἀσυλίας iis qui ei subditi sunt quisquam dabit praeter eos, qui etiam periculum sustinent, si quidem exactio ut dictum est periculo fit spectabilis pro tempore Augustalis et officii ei obtemperantis, pecuniae vero numerantur devotis sacrarum largitionum palatinis quibus haec pars curae est, eisque qui praeterea ad hoc mittuntur a gloriosissimo praefecto huius inclitae administrationis. Neque λόγον sinent dare quemquam praeter ea quae antea dicta sunt neque impedimento quicquam exactionibus fieri. Devoti autem milites qui in regionibus illis et urbibus sunt eadem sunt passuri, nisi et ipsi opem ferant et omni modo largitionales pecuniae cogantur et eis qui ad hoc mittuntur exsolvantur, et in his omnis alacritas adhibeatur et exactio quantam etiam in arcariis adhiberi statuimus.*

XII. *Tribuimus autem etiam illud spectabili Augustali, ut in omnibus imperet et militibus et pagarchis et eis qui publica tractant sub eius administratione et potestate constituta, non autem ut pagarchas fraudulenter se gerentes sive circa frumentum sive circa naula sive circa reliqua publica quae ad titulos quos diximus aut provinciales sumptus pertinent pro sua potestate removere possit. Sed si quid mali fecerint, non removebit quidem eos, sed sub custodia constituet et alios anquiret qui recte rem administrent, et omnia huc sedi tuae et per eam imperatori nuntiabit, ut nos omnia cognoscentes ea quae convenit faciamus tam de eiectione eorum qui non recte rem curarunt quam de electorum pagarcharum si nobis*
1 *placuerit substitutione et traditione eorum quae ad pagarchias et quae ad bona eorum pertinent. Sed etiam curiales tam Alexandriae quam in utraque Aegypto ei subiecti erunt et omnes quicunque publica tractant in regionibus ei subiectis eius exactionibus attributa. Et liceat ei, etiamsi in aliis regionibus sint non ei subditis, eos ad se ducere et publica ab eis exigere, et si qui eorum qui Alexandriae aut in utraque Aegypto possident alibi degant vel habitent in provinciis non ei subiectis, hos quoque reducere in regionem quam deseruerunt, ut nihil impedimento sit publicis quae ipsi incumbunt. Quod idem fiet, si qui publica debeant ad mensas tuas pertinentia, et tractatores quique eorum locum explent et exactionibus generalis vel specialis mensae inserviunt eiusmodi quid ad eum rettulerint: nam etiam in hac re*

---

1 *λαργιτιό*nas *M* ‖ 2 largitiosi *M* ‖ 7 largitiosin *M* ‖ *λόγος M* ‖ 8 *excidit fere ὑπομένουσι* ‖ 9 *μεταβαλλομένων M, corr. Zachariae* ‖ 10 largitiόnωn *M* ‖ 11 *ἐπὶ τούτῳ cum Scrimgero vulg.* ‖ *post ἄρχοντος nonnulla perisse existimat Zachariae non recte* ‖ 12 *συγχωρήσεωσ M, corr. Zachariae* ‖ *τινι Zachariae* ‖ 13 *ἢ del. Zachariae* ‖ 14 *laργιτιοna*licὰ *M* ‖ 18 *πατάρχαις M* ‖ 19 *πατάρχας M* ‖ 22 *διὰ ταὐτοῦ cum Scrimgero vulg.* ‖ 23 *γινώσκοντα M* ‖ 24 *πατραρχῶν M* ‖ *εἴ τε M, corr. Agylaeus* ‖ *ἐγκαταστήσει καὶ παραδώσει M, corr. Zachariae* ‖ 25 *πατραρχίας M* ‖ *πολιτευομένων M, corr. Agylaeus* ‖ 27 *κἂν Zachariae*] *καὶ M* ‖ 29 *ἐν add. Beck* ‖ *ὑποκειμένων M, corr. Zachariae* ‖ 31 *αὐτῷ Zachariae (qui etiam ἐπικειμένοις)*] *τοῖς αὐτοῦ M* ‖ 32 *ἐκεῖνο M*[a] ‖ *ἐπικείμενοι M, corr. Kroll* ‖ *ταῖς γενικαῖς καὶ ἰδικαῖς τραπέζαις M, corr. Zachariae*

καὶ ἄξει τούτους, ὥστε καὶ αὐτοὺς παρὰ τῶν τρακτευτῶν τῶν σῶν ὑπομένειν τὴν εἴσπραξιν· οὐ δυναμένων τῶν ὀφειλόντων καὶ ἐν ἑτέροις ὄντων τόποις παραγράφεσθαι τὸν αὐγουστάλιον ἐπὶ τῇ τῶν δημοσίων αἰτίᾳ ὡς μὴ πρόσφορον αὐτοῖς δικαστὴν καθεστῶτα. ὅπερ καὶ ἐπὶ τῶν largitionalic*ῶν ἀπαιτήσεων γίνεσθαι βουλόμεθα.*

CAPUT XIII.

*Ὑπόλοιπος δὲ ἐν ταῖς εἰσπράξεσιν ἔσται φροντὶς τῷ περιβλέπτῳ αὐγουσταλίῳ καὶ τῇ πειθομένῃ αὐτῷ τάξει, ἥτις ὑπέρ τε τῆς στρατιωτικῆς ἔσται δαπάνης, τῆς τε ἐν Ἀλεξανδρείᾳ τῆς τε ἐπὶ τῶν δύο Αἰγύπτων, τῶν τε [ἐπὶ] πολιτικῶν καὶ σολεμνίων τελῶν τῆς μεγάλης τῶν Ἀλεξανδρέων πόλεως καὶ τῶν ἑκατέρας Αἰγύπτου. δεῖ τοίνυν ταῦτα κινδύνῳ τοῦ περιβλέπτου αὐγουσταλίου καὶ τῆς πειθομένης αὐτῷ τάξεως καὶ ἀπαιτεῖσθαι καὶ ἐπιδίδοσθαι, οὐκέτι τοῦ πράγματος πραττομένου διὰ τοῦ σκρινιαρίου τῆς σῆς ὑπεροχῆς, ὃν ἐκ τοῦ στρατιωτικὰ διοικεῖν στρατιωτὸν καλοῦσιν Αἰγύπτιοι· ἀλλ' οὗτος μὲν καθάπαξ πεπαύσεται, ὁ δὲ περίβλεπτος αὐγουστάλιος καὶ ἡ πειθομένη τάξις αὐτῷ δι' ὁποίων ἂν βουληθείη τρόπων οἰκείῳ κινδύνῳ τὴν εἴσπραξιν ποιήσεται, καὶ τὴν δαπάνην χορηγήσει τοῖς καθωσιωμένοις στρατιώταις ἅπασι τοῖς ἐπὶ τῆς Ἀλεξανδρέων ἱδρυμένοις *** τὴν ἐπιβάλλουσαν αὐτοῖς ἐκτάξει δαπάνην ἐκ τῶν ὑποτεταγμένων τόπων τε καὶ πόλεων, κινδύνῳ οἰκείῳ τὴν εἴσπραξιν τούτων ⟨διὰ⟩ τῶν καθωσιωμένων στρατιωτῶν ποιούμενος.*

CAPUT XIV.

Ἀναγκάσεις δὲ καὶ τὸν κατὰ καιρὸν βίνδικα τῆς Ἀλεξανδρέων πάντα τὰ παρ' αὐτοῦ γινόμενα δαπανήματα ποιῆσαι ἐπί τε τῆς ἐκπυρώσεως τῶν δημοσίων βαλανείων ἐπί τε τοῖς ἄλλοις σολεμνίοις ἅπασι τοῖς πολιτικοῖς, ἅπερ πάντα ὑπόκειται ῥητῶς τῷδε ἡμῶν τῷ θείῳ νόμῳ. ἥτις ἀπογραφὴ δηλώσει σαφῶς ἐκ ποίων τε ταῦτα συνάγεται τόπων καὶ τίτλων ἤτοι προφάσεων καὶ προσώπων, καὶ πόσα ἐστὶ καὶ ὄντινα προσήκει διοικεῖσθαι τρόπον, δηλαδὴ τῶν σολεμνίων καὶ ὅσα πολιτικὰ καθέστηκε δαπανήματα ἐπὶ δύο Αἰγύπτων κινδύνῳ τοῦ ἐπιχωρίου τῶν ἐπαρχιῶν τούτων ἄρχοντος ἐπιδιδομένων ταῖς αὐταῖς πόλεσιν. ἐπὶ δέ γε τοῖς ὑπὸ τοῦ περιβλέπτου αὐγουσταλίου κινδύνῳ οἰκείῳ καὶ τῆς αὐτοῦ τάξεως διοικηθησομένοις ἄδειαν ἕξει καὶ λόγον διδόναι καὶ πάντα πράττειν ἅπερ ἂν λυσιτελεῖν τῷ πράγματι νομίσειεν, οἷα τοῦ κινδύνου παντὸς εἰς αὐτόν τε καὶ τὴν αὐτοῦ τάξιν φερομένου. δηλαδὴ τῶν δαπανημάτων τῶν γινομένων ἐπὶ τῆς
1 *Ἀλεξανδρέων πόλεως κατὰ τὸ σύνηθες γενομένων δι' ἐκείνων, οἳ μέχρι νῦν ταῦτα πράττουσι. μηδενὸς κατὰ πρόφασιν τοῦ δῆθεν μὴ ὑποκεῖσθαι τῷ περιβλέπτῳ αὐγουσταλίῳ μηδὲ αὐτοῖ τοῦ περιβλέπτου αὐγουσταλίου καὶ τῆς αὐτοῦ τάξεως ἐθελοκακούντων καί τινα δόλον ἢ ἐν ταῖς εἰσκομιδαῖς ἢ ἐν ταῖς πλωΐσεσι τῆς αἰσίας ἐμβολῆς ποιουμένων, ἀλλὰ τὸ πρᾶγμα καθαρῶς πραττόντων καὶ ὑπὲρ τῆς τοῦ κοινοῦ φροντίδος τε καὶ λυσιτελείας, εἰδότων τὸ τοῦ πράγματος ἀπαραίτητον καὶ γινωσκόντων, ὡς ὑπὸ τὴν ἐσχάτην ἔσονται τιμωρίαν, οὐ μόνον εἴ τι κακουργήσειαν, ἀλλὰ κἂν εἴ τινα περίνοιαν περὶ τὸ πρᾶγμα πράξειαν.*

CAPUT XV.

Κἀκεῖνο δὲ ἀνενεχθὲν ἡμῖν παρὰ τῆς σῆς ὑπεροχῆς δεῖν ᾠήθημεν ἐγγράψαι τῷδε τῷ νόμῳ. ἅπαν γὰρ ἀνερευνωμένη ἡ σὴ ἐνδοξότης κατὰ τὴν εἰρημένην τῶν Ἀλεξανδρέων πόλιν εὗρεν ἐν τῇ πυκτῇ τῇ ἐπὶ

---

similiter mittet et ducet eos, ut ipsi quoque a tractatoribus tuis exactionem sustineant. Nec poterunt debitores in aliis locis versantes Augustalem praescribere in causa publicorum, quasi non sit competens eorum iudex; id quod etiam in largitionalibus exactionibus fieri volumus.

XIII. *Reliqua vero in exactionibus cura spectabili Augustali et quod ei paret officio ea erit, quae de militari erit impensa et Alexandriae et utriusque Aegypti, et de civilibus et sollemnibus sumptibus magnae Alexandrinorum urbis et utriusque Aegypti. Oportet igitur haec periculo spectabilis Augustalis et officii ei obtemperantis et exigi et praestari, negotio non amplius tractato a scriniario tuae sublimitatis quem Aegyptii propter administrationem rerum militarium* στρατιωτὸν *appellant: sed hic quidem prorsus cessabit, spectabilis autem Augustalis et officium ei obtemperans quibuscunque voluerint modis proprio periculo exactionem faciet, et sumptus praestabit devotis militibus omnibus in Alexandrinorum urbe stationem habentibus et in utraque Aegypto collocatis, et competentem eis deputabit sumptum ex subiectis locis et urbibus, proprio periculo devotis militibus horum exactionem facientibus.*

XIV. *Coges vero etiam vindicem qui quoque tempore est urbis Alexandrinorum omnes impensas ab eo faciendas facere et ad calefactionem publicorum balneorum et ad cetera omnia civilia sollemnia, quae cuncta sacrae huic nostrae legi nominatim subiecta sunt. Quae descriptio distincte declarabit et ex quibus locis et titulis sive causis ac personis haec colligantur, et quanta sint et quomodo administrari debeant, videlicet sollemnibus et quotquot civiles sunt impensae in utraque Aegypto periculo provincialis harum regionum magistratus hisce urbibus tradendis. In iis vero quae a spectabili Augustali proprio et officii eius periculo administrantur licentiam habebit etiam* λόγον *dandi et cuncta faciendi quae conducere negotio putaverit, quoniam omne periculum ad ipsum eiusque officium refertur. Impensae nimirum quae*
1 *in urbe Alexandrinorum fiunt ex more faciendae sunt per illos qui hactenus eas tractarunt. Nemo autem sese spectabili Augustali non subditum esse causatus ac ne ipse quidem spectabilis Augustalis officiumque eius prave se gerat aut fraudem ullam sive in illationibus sive in felicis embolae vectura committat, sed negotium pure peragat et pro rei publicae cura et commodo, cognoscentes rei necessitatem et scientes ultimo supplicio se fore obnoxios non solum si quid male fecerint, sed etiam si quem dolum in ea re adhibuerint.*

XV. *Illud quoque a sublimitate tua ad nos relatum huic legi inserendum esse duximus. Omnia enim perscrutata gloria tua in dicta Alexandrinorum urbe invenit in tabula, quae temporum erat Ana-*

---

3 larγιτιonalicῶn *M* ‖ 7 *ἐπὶ seclusi, ἔτι Agylaeus, ὑπέρ τε τῶν Zachariae* ‖ *ἑκατέρα αἰγύπτω M, corr. Agylaeus* (*ἐν add. Osenbrüggen*) ‖ 8 *δεῖ Agylaeus*] *εἰ M* ‖ 10 *an στρατιωτικὸν?* ‖ *οὕτωσ M* ‖ 12 *τῆς Osenbrüggen*] *τοῖσ M* ‖ 13 *lacunam detexit Zachariae supplens: τοῖς δὲ ἐν ἑτέραις πόλεσιν ἑκατέρας Αἰγύπτου ἱδρυμένοις* (*nunc τοῖς δ' ἄλλοις*)*; malim καὶ τοῖς ἐπὶ δύο Αἰγύπτων καθημένοις* ‖ 14 *διὰ addidi; ποιουμένων coni. Zachariae* ‖ 20 *ἀρχόντων ἐπιδιδομένου M, corr. Zachariae* ‖ 21 *-του αὐγουσταλίου in litura M, αὐγουσταλίου in marg. repetit M² ut vid.* ‖ 22 *νομισθεῖεν M, corr. Kroll* ‖ 25 *post αὐγουσταλίῳ talia fere addit Zachariae: δυναμένου παραγράφεσθαι αὐτόν, ὥστε πάντων εὐγνωμονούντων τὴν εἴσπραξιν γίνεσθαι: sine causa* ‖ 27 *ποιούμενοι M, corr. Agylaeus* ‖ 28 *post λυσιτελείας excidit verbi causa ἀγρυπνούντων* ‖ 31 *πυκτῇ τῇ M*] *πυκτίδι Zachariae*

τῶν χρόνων Ἀναστασίου τοῦ τῆς εὐσεβοῦς λήξεως, ἡνίκα Μαριανὸς ὁ τῆς ἐνδόξου ⟨μνήμης⟩ ἐπ' αὐτῷ τὰ πράγματα ἔπραττε, καταστῆναι δημοσίαν πυκτήν, Ποταμῶνος τηνικαῦτα τῶν δημοσίων τῆς Ἀλεξανδρέων προεστῶτος κατὰ τὸ τοῦ βίνδικος σχῆμα, ἐν ᾗ πυκτῇ ἀπεγράψατο τὸν τοῦ ἐξαγωγίου τίτλον ἐκφέροντα διαφόροις αἰτίαις χιλίους ⟨υξϑ'⟩ χρυσοῦς οὕτως· τετρακοσίους μὲν ἐνενήκοντα δύο χρυσοῦς τοῖς δημοσίοις βαλανείοις τῆς αὐτῆς πόλεως, τετρακοσίους δὲ ἐννέα καὶ δέκα τῷ καλουμένῳ ἀντικανθάρῳ, καὶ πεντακοσίους πεντήκοντα ὀκτὼ χρυσοῦς πρὸς τῷ ἡμίσει τῷ ἀποδέκτῃ τῶν ναύλων, ὡς εἶναι τὸ ἀπογεγραμμένον ἐν χιλίοις τετρακοσίοις ἑξήκοντα ἐννέα χρυσοῖς. γενέσθαι δὲ ὕστερον καὶ περιποίησιν παρὰ τῶν πολιτευομένων τῇ αὐτῇ αἰτίᾳ τοῦ ἐξαγωγίου νομισμάτων ρ', τὸν δὲ κατὰ καιρὸν αὐγουστάλιον τριακοσίους εἴκοσι χρυσοῦς κομίζεσθαι ὑπὲρ πώλων τριάκοντα ἕξ, οὓς αὐτὸς παρέχει τῇ ἱπποδρομίᾳ τῆς εἰρημένης τῶν Ἀλεξανδρέων πόλεως· καὶ τοῦτο τὸ σχῆμα μεῖναι οὐ μόνον ⟨ἐπὶ⟩ τῆς Στρατηγίου τοῦ ἐνδοξοτάτου ἀρχῆς, ἀλλὰ καὶ μέχρι τῆς δευτέρας ἐπινεμήσεως τοῦ παρῳχηκότος κύκλου τῆς πρὸ ἐτῶν πεντεκαίδεκα. ἐξ ἐκείνου δὲ τινῶν μὲν ῥᾳθυμίᾳ τινῶν δὲ κακουργίᾳ τῶν δὲ πλείστων κλοπῇ τὸ πρᾶγμα κατὰ μικρὸν ἐλαττωθῆναι, καὶ ἀποστερεῖσθαι καὶ τὰ δημόσια βαλανεῖα τῆς τῶν τετρακοσίων ἐνενήκοντα δύο νομισμάτων ποσότητος καὶ τὰ ναῦλα τῆς τῶν πεντακοσίων πεντήκοντα ὀκτὼ ἡμίσεος νομισμάτων εἰσφορᾶς, προφάσεως αὐτοῖς δοθείσης ἐκ τοῦ τινας τοῦτο μὲν ἐκ τῆς αὐλῆς τοῦτο δὲ ἐκ τῶν θρόνων τῶν σῶν ἄδειαν ἑαυτοῖς κατασκευάσαι καὶ προῖκα ἐκφέρειν κεράμους τῆς εἰρημένης τῶν Ἀλεξανδρέων πόλεως καὶ ἕτερα εἴδη, ἅπερ ὑπόκειται τῷ τοιούτῳ τέλει, καὶ οὕτως ἐλαττωθῆναι κατὰ μικρὸν τὴν εἰρημένην πόλιν.

CAPUT XVI.

*Ἀποδεχόμενοι τοίνυν τὴν σὴν ὑπεροχὴν καὶ τούτοις ἐπιστᾶσαν θεσπίζομεν, μήτε τῶν πεπορισμένων τισὶ παντελῶς τοιούτων θείων ⟨ἢ⟩ ἀρχικῶν τύπων ὄφελός τι καθεστάναι, ἀλλὰ πάντας ἐπιγινώσκειν τοῦτο ὃ μέχρι τῶν χρόνων Στρατηγίου τοῦ ἐνδοξοτάτου ἐδίδοσαν, μήτε τὸν περίβλεπτον αὐγουστάλιον πλείονα δαπάνην τινὰ ποιεῖν παρὰ τὴν ἔμπροσθεν καὶ ἐπὶ τῶν χρόνων Στρατηγίου τοῦ ἐνδοξοτάτου πολιτευσαμένην, μήτε κατὰ καινοτομίαν τινὰ προσάπτεσθαι τῶν τελῶν ἐκείνων καὶ ἑαυτῷ ἐκδικεῖν, ἀλλὰ καὶ τὸ ἀρχαῖον φυλαχθῆναι σχῆμα τὸ μέχρι Στρατηγίου τοῦ ἐνδοξοτάτου καὶ αὐτοῦ· μήτε φιλονεικίας ἀφορμὴν δοθῆναι τῷ τε κατὰ καιρὸν αὐγουσταλίῳ * * *, καὶ τὸν μὲν ὡς οὐ λάβοι λέγειν, τὸν δὲ ὡς ἔλαττον λάβοι, ἀλλ' ἐκ τῆς ὅλης ποσότητος τῶν χιλίων ὀκτακοσίων ὀγδοήκοντα ἐννέα νομισμάτων κουφισθῆναι τριακοσίους ἑξήκοντα ἐννέα χρυσοῦς (βουλόμεθα γὰρ καί τι φιλανθρωπότερον τῆς ἀκριβείας πρᾶξαι)· καὶ διὰ τὴν τοῦ κατὰ καιρὸν αὐγουσταλίου συγκρότησιν ἄλλους χιλίους πεντακοσίους εἴκοσι χρυσοῦς μόνους ἐκ τοῦ τίτλου εἰσφέρεσθαι, ἐξ ὧν τοὺς τριακοσίους εἴκοσι χρυσοῦς ἑαυτῷ λογιεῖται ὁ περίβλεπτος αὐγουστάλιος προφάσει τῶν τριάκοντα ἓξ πώλων, οὓς ἀνάγκη παρασχεῖν αὐτῷ ἐπὶ τῇ ἱπποδρομίᾳ τῆς Ἀλεξανδρέων κατὰ τὸ ἄνωθεν κρατοῦν ἔθος, τοὺς δὲ ὑπολοίπους χιλίους διακοσίους καταλογίζεσθαι αὖθις αὐτῷ εἰς τὰς σιτήσεις τὰς ἑαυτοῦ, οὕτω τε τὸ πρᾶγμα εὔλυτον εἶναι καὶ τὴν ἀρχαίαν φυλάττον ὁδὸν καὶ μηδενὶ παντελῶς ἄδειαν κακουργίας παρεχόμενον. τῇ γὰρ τῶν δημοσίων βαλανείων ἐγκαύσει καὶ τῷ ἀντικανθάρῳ ⟨καὶ⟩ τοῖς δημοσίοις ναύλοις ἐξ ἑτέρων αἰτιῶν * * * ἀπογραφῇ τῷδε τῷ θείῳ νόμῳ δηλοῦται.*

---

stasii piae memoriae, quando Marianus gloriosae memoriae sub eo res administrabat, extitisse publicam tabellam tum, cum Potamon publicis Alexandrinorum urbis rebus vindicis loco praeerat, in qua tabella descripserat exagogii titulum diversis causis mille CCCCLXIX aureos expendentem in hunc modum: quadringentos nonaginta duos aureos publicis balneis eius urbis, quadringentos undeviginti anticantharo qui dicitur, quingentos quinquaginta octo aureos cum dimidio susceptori naulorum, ut descripta summa mille quadringentos undeseptuaginta aureos efficeret. Postea autem etiam acquisitionem eidem exagogii titulo a curialibus factam esse aureorum C, et Augustalem qui quoque tempore erat trecentos viginti aureos accepisse pro triginta sex equis quos ipse praebet ludis equestribus dictae Alexandrinorum urbis: et hunc statum mansisse non solum per gloriosissimi Strategii administrationem, sed etiam usque ad secundam indictionem praeteriti circuli, quae fuit ante annos quindecim. Exinde autem aliorum neglegentia, aliorum dolo, plurimorum autem furto rem paulatim imminutam esse, privarique et publica balnea quadringentorum nonaginta duorum aureorum summa et naula quingentorum duodesexaginta dimidii aureorum illatione, occasione illis data inde quod nonnulli partim ex aula partim a sedibus tuis veniam impetrarunt exportandi etiam sine vectigali tegulas ex dicta Alexandrinorum urbe et alias species quae eiusmodi vectigali obnoxiae sunt; et sic paulatim dictam urbem imminutionem esse passam.

XVI. *Laudantes igitur sublimitatem tuam quod etiam in haec intenta fuit sancimus neque ex talibus omnino divinis aut praefectoriis formis a quibusdam impetratis fructum ullum percipi, sed omnes persolvere id quod usque ad tempora gloriosissimi Strategii dederunt, neque spectabilem Augustalem ampliorem impensam facere quam antea et temporibus gloriosissimi Strategii usitata erat, neque novata re attingere quemquam vectigalia illa et sibi vindicare, sed antiquum statum conservari qui fuit usque ad gloriosissimum Strategium et sub eo: neque contentionis occasionem dari Augustali qui quoque est tempore et vindici, quorum alter se nihil accepisse dicat alter minus accepisse, sed ex universa summa mille octingentorum undenonaginta aureorum remitti trecentos undeseptuaginta aureos; (volumus enim humanius quam accuratius agere) et adiuvandi causa Augustalis qui quoque tempore est reliquos tantum mille quingentos viginti aureos ex eo titulo expendi; ex quibus trecentos viginti aureos sibi imputabit spectabilis Augustalis nomine triginta sex equorum quos necesse habet suppeditare ludis equestribus urbis Alexandrinorum ex consuetudine dudum valente, reliquos vero mille ducentos rursus sibi in annonas suas imputare, et sic rem expeditam esse et pristini modi servantem et nemini prorsus improbitatis copiam praebentem. Ad publicorum enim balneorum calefactionem et anticantharum et publica naula ex aliis titulis impensas destinavimus, sicut subiecta huic divinae legi descriptione ostenditur.*

---

1 *μνήμης add. Zachariae* ‖ 4 *υξϑ' addidi (cf. l. 6 sq.), pro οὕτως posuit Zachariae* ‖ *ἐννενήκοντα M* ‖ 7 *δὲ ὕστερον Zachariae] δεύτερον M* ‖ 9 *οὓς αὐτὸς παρέχει R. Schneider] ὡσαύτως παρέχειν M* ‖ 10 *μεῖναι Zachariae] εἶναι M* ‖ *ἐπὶ τῆς Zachariae] τοῦ M* ‖ *initium cepit haec indictio kal. Sept. a.* 523 ‖ 12 *ἀπεστερῆσθαι Scrimger non male* ‖ 18 *ἀποδεχόμεθα M* ‖ 19 *τοιοῦτον θεῖον ἀρχικὸν τύπον M, corr. Zachariae (ἢ add. R. Schneider)* ‖ 20 *et* 22 *μήτε Kroll] μηδὲ M* ‖ 22 *καὶ post ἀλλὰ suspectum* ‖ 24 *lacunam perspexit Zachariae inserens τῷ τε ἀποδέκτῃ τῶν ναύλων; sed vindicis potius mentio excidit* ‖ 27 *non plana haec; ἄλλους ⟨μὴ καταβλάψαι ὥστε⟩ Zachariae non recte; malim certe ⟨τοὺς⟩ ἄλλους* ‖ 28 *ἐκφέρεσθαι Zachariae* ‖ 29 *πώλων Agylaeus] πυλώνων M* ‖ 32 *καὶ add. Beck* ‖ 33 *excidisse nonnulla cognovit Zachariae qui supplet: πρόσοδος ἀφωρίσθη ὡς τῇ ὑποτεταγμένῃ* ‖ *ἀπογραφὴ M*

CAPUT XVII.

Ἐπειδὴ δὲ τὸν Μαρεώτην ὑπεθήκαμεν τῷ Λιβυκῷ κλίματι, καὶ εἰκός τινας τῶν ἐκ τῆς Ἀλεξανδρέων ἐπὶ δημοτικαῖς στάσεσιν ἁλισκομένους φεύγειν ἐκεῖσε διαδιδράσκοντας τὰς ἐπαγομένας αὐτοῖς παρὰ τοῦ περιβλέπτου αὐγουσταλίου ποινάς, θεσπίζομεν ἄδειαν εἶναι τῷ κατὰ καιρὸν περιβλέπτῳ αὐγουσταλίῳ στέλλειν ἐκεῖσε ἐπὶ ταύτῃ καὶ μόνῃ τῇ αἰτίᾳ κομμενταρήσιον μετὰ δημοσίας ἐπιστολῆς γινόμενον πρὸς τὸν ἐφέξοντα τὸν τόπον τοῦ λαμπροτάτου ἄρχοντος τῆς Λιβύων ἐπαρχίας, ὥστε καὶ συνέχειν αὐτοὺς καὶ παραδιδόναι διὰ τῶν ὑφ' ἑαυτὸν ταξεωτῶν τε καὶ στρατιωτῶν, ἵνα μηδεὶς τῶν δημοσίους θορύβους κατὰ τὴν Ἀλεξανδρέων ποιούντων ἐκεῖσε διαδιδράσκοι καὶ τὰς τοῦ περιβλέπτου αὐγουσταλίου διαφεύγοι ποινάς, πρὸς τῷ καὶ αὐτῷ τῷ τοῖς ἐκεῖσε μέρεσιν ἐφεστῶτι ἄδειαν εἶναι εἴ τινας εὕροι τοιούτους, καὶ συνέχειν καὶ κολάζειν καὶ κοινοῦ τὴν χεῖραν ἐλευθεροῖν αὐτούς. ἐπὶ τούτοις τοίνυν τὴν εἰρημένην ἀρχὴν ὁρίζομεν καὶ συνιστῶμεν ταῦτα πράξουσαν, ἅπερ ἐν τῷδε τῷ νόμῳ διωρίσαμεν· ἔσται γὰρ οὕτως καὶ αὐτάρκης ἡ φροντὶς τῷ πράγματι καὶ πανταχόθεν περιεσταλμένη καὶ διευκρινηθεῖσα καὶ μηδεμίαν παρέχουσα τοῖς βουλομένοις συγχύσεως καὶ κλοπῆς ἀφορμήν.

CAPUT XVIII.

*Ἐντεῦθεν ἡμᾶς καλεῖ ἡ τοῦ * * * Λιβυκοῦ λιμιτοῦ φροντίς, ὅνπερ ἐπὶ τοῦ Παρατονίου ἱδρυσάμεθα, δόντες αὐτῷ καὶ στρατιωτικὴν χεῖρα τῶν κατ' ἐκεῖνα βαρβάρων ἄρχουσαν. βουλόμεθα γὰρ καὶ τὸν Λιβύης περίβλεπτον δοῦκα ἱδρῦσθαι μὲν ὡς εἴρηται κατὰ τὸ Παρατόνιον καὶ τὰς ὑποτεταγμένας αὐτῷ πόλεις, ἐν αἷς ἔσονται ⟨οἱ⟩ ὑπ' αὐτὸν στρατιῶται ταῖς αὐτοῦ κελεύσεσιν ὑπηρετούμενοι· λήψεται δὲ καὶ αὐτὸς τὰς ἀφωρισμένας αὐτῷ σιτήσεις, ὑπὲρ μὲν τῶν ἐν εἴδει ἀννόνων ἐνενήκοντα καὶ καπίτων ἑκατὸν εἴκοσι νομίσματα χίλια πέντε τέταρτον, ὑπὲρ δὲ τῶν ἐν χρυσῷ ἀννόνων πεντήκοντα καὶ καπίτων πεντήκοντα νομίσματα τετρακόσια, καὶ πρός γε ἡ πειθομένη τάξις αὐτῷ νομίσματα ρπζ' ἥμισυ, καὶ οἱ στρατιῶταί γε μήν, τουτέστιν οἱ ἐκ τῶν Λιβυκῶν Ἰουστινιανῶν καὶ Παρατονιτῶν Ἰουστινιανῶν ταγμάτων ⟨τῶν⟩ ἀφωρισμένων τοῖς εἰρημένοις τόποις, τὰς οἰκείας σιτήσεις καθάπερ αὐτοῖς ὥρισε τὸ δημόσιον λήψονται· δῆλον δὲ ὅτι καὶ ἅπαντα τὰ σολέμνια τὰ ἐν ταῖς πόλεσι ταῖς αὐτοῦ ἐπιδοθήσεται καθάπερ καὶ μέχρι νῦν ἐπεδίδοτο. ὁμοίως*
1 *δὲ καὶ ὁ ἐπιχώριος ἄρχων καὶ ἡ πειθομένη τάξις αὐτῷ τὰς οἰκείας ἕξουσι σιτήσεις. ἀλλ' ἐπειδήπερ εἴ τις ἅπασαν ταύτην συλλογίσεται τὴν δαπάνην, οὐκ ἂν αὐτάρκης εἴη ἡ ἐκ τῶν τόπων τῶν ὑπ' αὐτὸν τεταγμένων ἤτοι τῆς Λιβύων ἐπαρχίας εἰσκομιδή, διὰ τοῦτο ἀναγκαῖον ᾠήθημεν προσθεῖναι αὐτῷ καὶ τὸν καλούμενον Μαρεώτην καὶ τὸν Μενελαΐτην ⟨τὴν⟩ πόλιν ἥτις πρώτης Αἰγυπτίων ἐπαρχίας ἐστίν. οὐδὲ γὰρ ἄλλως ἰσχύσει τοῖς στρατιώταις τοῖς ὑπ' αὐτὸν τεταγμένοις ἐκ τοῦ δημοσίου παρασκευάζειν χορηγεῖσθαι, εἴπερ ἑτέρωθεν τὰ τῆς δόσεως ἤρτηται καὶ ὑφ' ἕτερον ἄρχοντα τελοίη, καὶ μυρίαι ἐντεῦθεν ἀναστήσονται φροντίδες καὶ ταραχαὶ ἐκ τῆς διαφορᾶς τῶν ἀρχόντων. ἀλλ' αὐτὸς μὲν ἄρξει τῶν εἰρημένων τόπων, αὐτὸς δὲ κινδύνῳ οἰκείῳ καὶ ἡ πειθομένη οἱ τάξις καὶ ὁ πολιτικὸς ἄρχων ἅμα τῇ οἰκείᾳ τάξει καὶ εἰσπράξουσι καὶ ἐπιδώσουσι τὸ συναγόμενον τοῖς τε στρατιώταις καὶ ἑαυτοῖς, ὥστε καὶ τὰς δαπάνας αὐτῶν καὶ τὰς σιτήσεις ἐντεῦθεν γίνεσθαι οἰκείῳ κινδύνῳ τῆς εἰσπράξεως αὐτῶν γινομένης.*

XVII. *Quoniam vero Mareotam Libyco tractui subiecimus, et fieri potest ut nonnulli ex Alexandrinorum urbe in popularibus seditionibus deprehensi illuc fugiant illatas sibi a spectabili Augustali poenas evitantes, sancimus licere spectabili Augustali qui quoque tempore est mittere illuc ob hanc causam solam commentariensem cum litteris publicis ad eum qui clarissimi praesidis provinciae Libycae locum obtinebit, ut illos et comprehendat et per officiales et milites sibi subiectos tradat, ne quis eorum qui publicos tumultus in Alexandrinorum urbe moverint illuc aufugiat et poenas spectabilis Augustalis detrectet: praeterquam quod ei qui istis partibus praeest ipsi quoque licebit si quos tales invenerit et comprehendere et punire * * * Ad haec igitur hunc magistratum definimus et constituimus, ut quae hac lege descripsimus faciat; sic enim et sufficiens cura erit rei et undique composita et distincta, nullamque confusionis et furti occasionem eis qui id voluerint praebens.*

XVIII. *Hinc nos vocat ducis Libyci limitis cura, quem apud Paratonium collocavimus, dantes ei etiam militarem manum barbaros qui illic sunt coercentem. Volumus enim etiam spectabilem Libyae ducem sedere quidem ut dictum est apud Paratonium et urbes ei subiectas, in quibus erunt milites sub eo constituti iussis eius obsequentes; accipiet autem ipse quoque annonas ei deputatas, pro annonis in specie nonaginta et capitibus centum et viginti aureos nongentos triginta, pro annonis in auro quinquaginta et capitibus quinquaginta aureos quadringentos, et insuper officium eius aureos CLXXXVII dimidium, et milites quoque, id est qui ex Libycis Iustinianis sunt et Paratonitis Iustinianis ad haec loca deputatis, annonas suas quemadmodum fiscus eis definivit accipient. Manifestum vero est omnia sollemnia in urbibus ei subiectis datum iri, quemadmodum etiam hactenus data sunt. Similiter autem etiam provincialis iudex*
1 *et officium ei obtemperans proprias annonas habebunt. Verum quoniam si quis omnes hasce impensas computet non sufficiens erit ex locis ipsi subiectis sive ex Libyum provincia illatio, idcirco necessarium duximus adicere ei et Mareotam quem vocant et Menelaitam urbem quae est primae Aegypti provinciae. Neque enim aliter poterit efficere ut militibus sub eo constitutis e fisco annona praestetur, si aliunde datio pendeat et alii iudici competat, et innumerabiles inde exorientur sollicitudines et turbae propter dissidium iudicum. Verum ipse locis quae diximus praeerit, ipse proprio periculo et officium ei parens et civilis iudex una cum suo officio et exigent et distribuent quod colligitur militibus et sibi, ut et sumptus eorum et annonae hinc sumantur proprio periculo exactione eorum facta.*

---

1 *λυβικῷ M* ‖ 2 *διαδράσκοντας M* ‖ 4 *κομενταρήσιον M* ‖ *γινομένης Zachariae* ‖ 7 *διαφεύγει M* ‖ *πρὸς τὸ καὶ αὐτὸ M, corr. Scrimger* ‖ 8 *κοινῶς τὴν χώραν Zachariae; de ἐκείνου τὴν χρείαν πληροῦν cogitat Skutsch* ‖ 9 *αὐτοῖς* M^a *ut vid.* ‖ 13 *supplendum existimo ἡ τοῦ ⟨δουκὸς τοῦ ἐπὶ τοῦ⟩, similiter Zachariae* ‖ *λυβικοῦ M* ‖ 16 *οἱ addidi* ‖ 18 *numerus corruptus; ͵αεδ' ortum puto e ͵Ϡλ', ut annona quinque, capitus quattuor sit aureorum (cf. Cod. I 27, 1). χίλια πέντε τριάκοντα (sic) Zachariae annonam* $5^1/_2$, *capitum* $4^1/_2$ *aureorum fuisse ratus* ‖ *fortasse fuit ἀννόνων τεσσαράκοντα aut νομίσματα τετρακόσια πεντήκοντα* ‖ 20 *ἐκ τούτων λιβύων ἰουστ. καὶ παρά τινι τῶν M, corr. Zachariae* ‖ *τῶν ταγμάτων M, τῶν del. Zachariae, ante ἀφωρ. posuit Kroll* ‖ *ἀφωρισμένοι Zachariae* ‖ 22 *αὐτῶν M, corr. Zachariae* ‖ 23 *ἐπιχωρίοις M* ‖ 26 *τὸν* M^a] *τὴν* M^b *vulg.* ‖ *τὴν inserui* ‖ *πρώτης Zachariae*] *πρὸ τῆς M* ‖ *ἰσχύσειε M, correxi* ‖ 28 *τελείη M* ‖ *καὶ μυρίαι iterat M* ‖ 30 *οἱ Kroll*] *σοὶ M, αὐτῷ Zachariae*

CAPUT XIX.

Ὅπως δὲ ἂν μηδὲ ἐνταῦθα δοίημέν τινι τεχνάζειν μηδὲ πλείονα δαπάνην βοίλεσθαι ποιεῖν ἢ ἐλάττονα λέγειν τὴν εἰσκομιδήν, καὶ τοῦτο διοικούμενοι προσηκόντως τῇ ὑποκειμένῃ ἀπογραφῇ τῷδε τῷ θείῳ νόμῳ σαφὲς κατεστήσαμεν, δηλώσαντες πόσος μέν ἐστιν ὁ κανὼν [ὁπόσος] ὁ ἀνήκων εἰς τὸ δικαστήριον τῆς σῆς ὑπεροχῆς καὶ ἐκ τῶν εἰρημένων ἐπαρχιῶν τε καὶ τόπων εἰσκομιζόμενος, ἐκ τῆς Λιβύης αὐτῆς καὶ τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς πόλεως, πόσα δὲ τὰ δαπανήματα, ἅπερ προσῆκόν ἐστιν ἐντεῦθεν γίνεσθαι περί τε τοὺς ἄρχοντας καὶ τὰς τάξεις καὶ τὰ σολέμνια περί τε τὴν τροφὴν τῶν καθωσιωμένων στρατιωτῶν. τοῦ περιβλέπτου αὐγουσταλίου παντελῶς οὐδεμίαν ἔχοντος μετουσίαν οὐδὲ τῆς αὐτοῦ τάξεως πρὸς τὸν εἰρημένον δοῦκα ἤτοι τὰς ὑποτεταγμένας αὐτῷ ἐπαρχίας τε καὶ πόλεις καὶ τόπους, οὐδὲ ἄλλου τῶν ἐπιχωρίων ἀρχόντων τινός, ἀλλὰ αὐτοῦ τοῦ περιβλέπτου δουκὸς καὶ τοῦ τῆς Λιβύων πολιτικοῦ ἄρχοντος ἔχοντος πᾶσαν ἐξουσίαν ⟨ἐν⟩ τοῖς εἰρημένοις τόποις χρημάτων τε ἕνεκεν καὶ ἐγκλημάτων καὶ δημοσίων εἰσπράξεων, ὥστε μέντοι τὸν ἄρχοντα τὸν ἐπὶ Λιβύης ὑποκεῖσθαι τῷ περιβλέπτῳ δουκί, καὶ πάντας τοὺς τὰς αὐτὰς χώρας οἰκοῦντας κτήτορας, ἐφ' οἷς κέκτηνται, καὶ τοὺς τούτων οἰκήτορας· εἰ γὰρ καὶ ἐν ἄλλαις ἐπαρχίαις οἰκοῦσι, κέκτηνται δὲ ὑπὸ τὰς εἰρημένας πόλεις ἢ τόπους, οἷς ἐφέστηκεν ὁ περίβλεπτος δούξ, καὶ τούτους ὁμοίως ἐπὶ ταῖς δημοσίαις εἰσπράξεσιν ὑποκεῖσθαι αὐτῷ βουλόμεθα, ὡς παῤῥησίαν ἔχειν καὶ ἐκπέμπειν ⟨πρὸς⟩ αὐτοὺς καὶ ἀπαιτεῖν καὶ πάντα πράττειν, ὁπόσα ὁ τῆς εἰσπράξεως βούλεται τρόπος.

CAPUT XX.

Ἐπειδὴ δὲ καὶ αἱ θεῖαι ἡμῶν largitiones *ἐκ τῶν ἐπαρχιῶν τούτων καὶ τόπων τῶν ὑπακουόντων τῷ εἰρημένῳ τοῦ Λιβυκοῦ λιμιτοῦ δουκί τινα κομίζονται, ἡμεῖς δὲ τὴν ἴσην καὶ ὁμοίαν καὶ ἐπ' αὐτοῖς φροντίδα ποιούμεθα, θεσπίζομεν τὸν εἰρημένον τῆς Λιβύης καὶ τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς πόλεως (καὶ ταῦτα γὰρ αὐτῷ προσεθήκαμεν) [τὸν] περίβλεπτον δοῦκα καὶ τὸν τῆς ἐπαρχίας ἄρχοντα καὶ τὴν αὐτῷ πειθομένην τάξιν κινδύνῳ οἰκείῳ τὴν τῶν* largitionalic*ῶν χρημάτων εἴσπραξιν ποιεῖσθαι τῶν ἐκ πάντων τῶν εἰρημένων τόπων ὀφειλομένων, ὥστε κατὰ μηδεμίαν ἔλλειψιν ταῦτα καθ' ἕκαστον ἔτος εἰσπράττεσθαι καὶ ἐκπέμπεσθαι παρ' αὐτῶν ἐπὶ τὴν Ἀλεξανδρέων καὶ παραδίδοσθαι τῷ κατὰ καιρὸν ἐκ τῶν καθωσιωμένων παλατίνων ἐπιτρεπομένῳ τὴν τοῦ πραιποσίτου πληροῦν ἐκεῖσε χρείαν. ἐπαμύνειν τε αὐτοὺς εἰδότας ὡς εἰς τὸν αὐτῶν ἐλεύσεται κίνδυνον, τουτέστι τοῦ τε ἀεὶ δουκὸς τοῦ τε ἄρχοντος τῶν τε πειθομένων αὐτοῖς τάξεων, εἰ μὴ τούτων πᾶσι προνοήσειαν τρόποις· ἀμυνόντων εἰς τοῦτο καὶ τῶν στρατιωτῶν καὶ αὐτῶν κινδυνευόντων, εἰ μὴ ἐπαμύναιεν, ταύτας ὑποστῆναι τὰς ποινάς, ἅσπερ ἐπεθήκαμεν καὶ τοῖς ἐπὶ τῆς Ἀλεξανδρέων καὶ ἑκατέρας Αἰγύπτου καθημένοις στρατιώταις, εἰ μὴ καὶ αὐτοὶ τὸ πρᾶγμα τῆς ἴσης ἀξιώσειαν φροντίδος. οὐδὲ λόγου τινὸς ἐπὶ ταῖς* largitionalic*αῖς αἰτίαις παρὰ τὰς ἔμπροσθεν διηγορευμένας αἰτίας παρέχεσθαι δυναμένου τισὶ παρὰ γνώμην τῶν καθωσιωμένων παλατίνων τῆς εἰρημένης ἀρχῆς ⟨ἢ⟩ τῶν ἄλλως στελλομένων ἐπὶ τῇ τῶν* largitionalic*ῶν δημοσίων εἰσπράξει παρὰ τοῦ κατὰ καιρὸν αὐτῶν ἄρχοντος, ἀλλὰ καὶ ἔνδον τῶν ἀσύλων χωρίων τῆς εἰσπράξεως γινομένης, καὶ τῶν ἄλλων ἁπάντων ὁμοίως*

XIX. *Ut autem ne hic quidem permittamus cuiquam machinari neve impensam maiorem facere velle aut minorem dicere illationem, etiam hoc convenienter disponentes descriptione huic sacrae legi subiecta planum fecimus, demonstrantes quantus sit canon tribunali tuae sublimitatis competens et ex dictis provinciis et locis conferendus, ex Libya ipsa et Mareota et Menelaita urbe, quantaeque impensae quas hinc convenit fieri et in iudices et officia et sollemnia et in victum devotorum militum. Spectabilis autem Augustalis nullam omnino communionem habeat nec eius officium cum dicto duce sive provinciis et urbibus et locis ei subiectis, neque alius quisquam provincialium iudicum, sed ipse spectabilis dux et civilis Libyum iudex omnem potestatem habeat in dictis locis in pecuniariis causis et criminalibus et publicis exactionibus, ita tamen ut iudex Libyae spectabili duci subditus sit et omnes qui istas regiones habitant possessores quoad possessiones suas earumque incolas; nam etiam si in aliis provinciis habitent, possessiones autem habeant in dictis urbibus et locis quibus spectabilis dux praefectus est, etiam hos similiter in publicis exactionibus ei subiacere volumus, ut et ad eos mittere et exigere possit et omnia facere quaecunque exactionis modus postulat.*

XX. *Quoniam vero etiam sacrae nostrae largitiones ex his provinciis et locis, quae dicto Libyci limitis duci parent, nonnulla percipiunt, et nos aequalem et similem etiam illis curam impendimus, sancimus dictum Libyae et Mareotae et Menelaitae urbis (nam haec quoque illi adiecimus) spectabilem ducem et provinciae iudicem et officium ei parens proprio periculo largitionalium pecuniarum exactionem facere quaecunque ex omnibus dictis locis debentur, ut sine ullo defectu haec quotannis exigantur et transmittantur ab eis ad urbem Alexandrinorum tradanturque ei ex devotis palatinis, cui tum commissum fuerit ut illic praepositi munere fungatur. Et illos auxilium ferre scientes sibi periculo fore, id est duci qui quoque tempore fuerit et iudici et officiis eis parentibus, nisi his rebus omnibus modis providerint; opem huic rei ferentibus etiam militibus ipsis quoque periculum subeuntibus, si opem non tulerint, easdem sustinendi poenas, quas imposuimus etiam militibus in urbe Alexandrinorum et utraque Aegypto constitutis, nisi et ipsi negotio aequalem curam admoverint. Nec poterit quisquam λόγον in largitionalibus titulis praeter causas quas supra exposuimus cuiquam dare invitis devotis palatinis dictae administrationis vel eis, qui praeterea ad publicorum largitionalium exactionem mittuntur ab eo qui tunc ipsis praeest; sed etiam intra asyla exactio fiet, et reliqua omnia similiter in Libya et Mareota et*

---

3 *κανὼν ὁπόσοσ δὲ (δὲ deletum) ὁ M, delevi ὁπόσος; ὁπωσοῦν pro ὁπόσος ὁ (debebat ὁ ὀπ.) Zachariae* ‖ 6 *περί τε τοῦ ἄρχοντος M, περί τε τοὺς τούτων ἄρχοντας Zachariae (τούτου non τοῦ in M esse dicens)* ‖ *σολλέμνια M* ‖ 8 *ἤτοι Zachariae] τὸν M, καὶ Beck* ‖ 9 *ἄρχοντος M, corr. Zachariae* ‖ *τοῦ τῆς Kroll] τῆς τοῦ M, τοῦ τῶν Agylaeus vulg.* ‖ 10 *ἐν add. Agylaeus* ‖ 11 *ἄρχοντα Zachariae] τὰ M* ‖ 14 *δημοσίων Zachariae* ‖ *πρὸς add. Agylaeus* ‖ 17 *λιβυκοῦ Mª, λιβικοῦ Mᵇ* ‖ *λιμιτοῦ (το in ras.) M* ‖ *δουκικοῦ M, corr. Osenbrüggen* ‖ 19 *γὰρ αὐτῷ Agylaeus] παραυτῷ M* ‖ *τὸν del. Zachariae* ‖ 20 *αὐτοῖς? Zachariae* ‖ largionitic*ῶν* (sic) *M* ‖ 24 *αὐτὸν M, corr. Zachariae* ‖ 25 *προνοήσεις M, correxi* ‖ 26 *αὐτῶν Zachariae] τῶν M* ‖ 28 largitionalic*αῖς M* ‖ 29 *ἢ τῶν ἄλλως Zachariae cl.* 786, 11] *τῶν ὅλωσ M* ‖ 30 larγitionalic*ῶν M*

ἐπὶ Λιβύης καὶ τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς Αἰγυπτιακῆς πόλεως πραττομένων ἐπὶ ταῖς largitionalicαῖς εἰσπράξεσι, καθάπερ εἰρήκαμεν δεῖν γενέσθαι ἐπὶ τῆς Ἀλεξανδρέων καὶ ἑκατέρας Αἰγύπτου προφάσει τῶν ἀρκαρικῶν εἰσπράξεων.

CAPUT XXI.

Οὔτε δὲ τὸν τῶν ναύλων λόγον οὔτε τὸν τῆς ἰδικῆς καὶ γενικῆς τραπέζης τοῦ δικαστηρίου τῆς σῆς ὑπεροχῆς ἔχειν τινὰ μετουσίαν παντελῶς πρὸς τὴν εἰρημένην τοῦ Λιβυκοῦ λιμιτοῦ ἀρχήν τε καὶ εἴσπραξιν * * * οὔσας τάς τε νῦν προστιθεμένας, τουτέστι τὸν Μαρεώτην καὶ τὸν Μενελαΐτην τὴν πόλιν ⟨τῆς πρώτης⟩ τῶν Αἰγυπτίων ἐπαρχίας, δι' ὅτι φθάσαντες ἤδη διῳκησάμεθα· καὶ δὴ πάντα τὸν κανόνα τόν τε ἐκ Λιβύης καὶ τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς πόλεως συντελούμενον καθ' οἱονδήποτε τρόπον ἐξ οἱουδήποτε τίτλου τῶν ἀνηκόντων εἰς τὴν ἀρχὴν τῆς σῆς ὑπεροχῆς εἰς ταύτας προχωρεῖν τὰς δαπάνας ἃς ἔμπροσθεν εἰρήκαμεν, τουτέστι τάς τε ἀποτροφὰς τῶν ἀρχόντων καὶ τῶν τάξεων τάς τε στρατιωτικὰς τάς τε τῶν σολεμνίων· πάντων τῶν προφάσει τῶν largitionalicῶν εἰσφορῶν εἰρημένων ἡμῖν ἐκ τρόπου παντὸς κρατούντων.

CAPUT XXII.

Ἐπειδὴ δὲ καὶ τούτου τιθέμεθα πρόνοιαν τοῦ μὴ τοὺς ἡμετέρους ὑπηκόους πολλὰ διαστήματα καὶ τὴν ἐντεῦθεν συντριβὴν ὑπομένειν ἀδικουμένους, ἄλλως τε διὰ τὸ τὸν Μαρεώτην καὶ γείτονα εἶναι τῆς Ἀλεξανδρέων καί τινας τῶν ἐκεῖσε ταραττόντων ἀφικνουμένους εἰς τὸν Μαρεώτην μηκέτι δεδιέναι τὸν τῆς Ἀλεξανδρέων περίβλεπτον αὐγουστάλιον, θεσπίζομεν ὥστε τὸν κατὰ καιρὸν λαμπρότατον τῆς Λιβύων πολιτικὸν ἄρχοντα ἄνδρα ἐπιλέγεσθαι οἰκείῳ κινδύνῳ σπουδαῖον καὶ τοῦτον ἐκπέμπειν τὸν αὐτοῦ τόπον ἐφέξοντα, ὃς καθιεῖται μὲν ἐν τῷ Μαρεώτῃ καὶ τῷ Μενελαΐτῃ τῇ πόλει, τῶν δὲ δικῶν χρηματικῶν καὶ ἐγκληματικῶν καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν τῇ περιοικίδι τοῦ Μαρεώτου καὶ τοῦ Μενελαΐτου τῆς πόλεως πραττομένων ἀκροάσεται καὶ τὰ προσήκοντα πράξει, καὶ εἴ τινες τῶν Ἀλεξανδρέων στασιώδεις φύγοιεν, τούτους καὶ συλλήψεται καὶ στελεῖ πρὸς τὸν περίβλεπτον αὐγουστάλιον δημοσίαν ἐπιστολὴν πρὸς ἐκεῖνον ποιούμενος, ὥστε μηδὲν ἀνεκδίκητον τῶν οὕτως πραττομένων παραλιμπάνεσθαι. εἰ μέντοι φυγόντων τινῶν στασιωδῶν εἰς τὸν Μαρεώτην ὁ περίβλεπτος αὐγουστάλιος βουληθείη τούτους συσχεῖν, ἄδειαν ἕξει ἕνα τῶν ὑπ' αὐτὸν κομμενταρησίων ἐκπέμπειν ἅμα δημοσίᾳ ἐπιστολῇ πρὸς τὸν πληροῦντα τὸν τόπον τοῦ λαμπροτάτου τῆς Λιβύων ἐπαρχίας ἄρχοντος, ὥστε προνοίᾳ αὐτοῦ καὶ κινδύνῳ συνέχεσθαι καὶ παραδίδοσθαι τοὺς ἀτακτήσαντας καὶ ἐπὶ τὴν Ἀλεξανδρέων ἐκπέμπεσθαι. ἀφορίζομεν γὰρ τῷ εἰρημένῳ τοποτηρητῇ καὶ εἴκοσι ταξεώτας τῆς τάξεως τῆς πειθομένης τῷ ἐπιχωρίῳ τῆς Λιβύων ἄρχοντι, καὶ στρατιώτας τῶν ἐκεῖσε ἱδρυμένων ἄχρι πεντήκοντα τὸν ἀριθμόν, ὥστε αὐτὸν ἔχειν καὶ τοὺς ὑπακούοντας καὶ τοὺς ὑπουργοῦντας καὶ ἱκανὸν εἶναι τὰ προσήκοντα πράττειν. ὑπουργήσουσι δὲ αὐτῷ οἱ εἰρημένοι ταξεῶται καὶ στρατιῶται ἐπί τε τῇ καταστάσει

Menelaita urbe Aegyptiaca peragentur in largitionalibus exactiönibus, quemadmodum diximus fieri oportere in urbe Alexandrinorum et utraque Aegypto occasione arcariarum exactionum.

XXI. *Neque vero naulorum neque specialis et generalis mensae tribunalis sublimitatis tuae ratio quicquam commune habeat cum dicta Libyci limitis administratione et exactione tam in provinciis pridem ei subiectis quam in his quae nunc adiciuntur, id est Mareota et Menelaita urbe primae Aegyptiorum provinciae, secundum id quod antea disposuimus; et totus canon qui tam ex Libya quam ex Mareota et Menelaita urbe confertur quolibet modo ex quolibet titulo eorum qui pertinent ad tuae sublimitatis administrationem ad has impensas procedat quas supra diximus, id est ad victum praefectorum et officiorum, et militares et sollemnium sumptus: cunctis quae de largitionalibus collationibus a nobis dicta sunt omni modo observandis.*

XXII. *Quoniam vero etiam huic rei providemus, ne subditi nostri iniuria affecti longa intervalla et quae inde est molestiam patiantur, et praesertim cum Mareota urbi Alexandrinorum vicina sit et nonnulli eorum qui illic seditiones excitant ad Mareotam pervenientes non iam metuant spectabilem Augustalem urbis Alexandrinorum, sancimus, ut qui quoque tempore clarissimus provinciae Libyum civilis iudex est proprio periculo virum probum eligat eumque emittat vice sua functurum, qui sedem habebit in Mareota et Menelaita urbe, et pecuniarias et criminales causas et ceteras omnes quae in vicinia Mareotae et Menelaitae urbis agitantur audiet et quae iusta sunt faciet: et si qui Alexandrinorum seditiosi fugerint, hos comprehendet et mittet spectabili Augustali, litteris publicis ad eum datis, ut nihil ita commissum inultum relinquatur. Quodsi seditiosos quosdam in Mareotam elapsos spectabilis Augustalis voluerit comprehendere, licebit ei unum ex commentariensibus ipsi parentibus emittere cum litteris publicis ad vicarium clarissimi iudicis Libyum provinciae, ut cura eius et periculo comprehendantur et tradantur seditiosi et ad urbem Alexandrinorum mittantur. Assignamus enim dicto vicario etiam viginti officiales ex officio provinciali Libyum iudici parente et milites ex iis qui ibi stativa habent quinquaginta numero, ut ipse habeat qui ei obtemperent et ministrent et valeat ad agenda quae opus est. Ministerium autem ei praebebunt dicti officiales et milites tam in conservanda disciplina quam in reliquis omnibus quae*

---

1 εἰσπραττομένων *M, corr. Zachariae* ‖ largitionalicαῖς *M* ‖ 5 λιβυκοῦ *M* ‖ 6 *lacunam detexit Agylaeus; excidit fere* κατά τε τὰς πρότερον ὑπ' αὐτήν ‖ τῆς πρώτης *pro* τῶν *posuerat Zachariae* ‖ 7 *malim* καθ' ὅτι ‖ διοικησάμεθα *M* ‖ δὴ] δεῖ *Zachariae* ‖ 11 largitionalicῶν *M* ‖ 13 ἀλλ' ὥστε *M, corr. Zachariae* ‖ 14 *hinc ordo foliorum in archetypo codicis M turbatus erat; ita enim se excipiunt partes:* II ἀνάγκη πράττειν 792, 1 — παρέδωκεν ἀρχήν 793, 3. I εἰς τὸν Μαρεώτην 791, 14 — ἅπασιν ἅπερ 792, 1. IV ἢ τοῖς παρ' αὐτοῦ 794, 7 — οἱ τρακτευταὶ 794, 23. III ταὐτὸ δὲ τοῦτο 793, 3 — αὐγουσταλίῳ 794, 7. *Verum ordinem restituit Zachariae. Cum II et III altero tanto maiores sint quam I et IV (illae 2600 hae 1260 fere litterarum). res non aliter explicari posse videtur nisi ita ut ternionem fuisse statuamus ita ligatum* I II II III III IV. *Praeterea adnotandum id quod superest* (794, 23 ἢ οἱ σκρινιάριοι — 795, 7) *eiusdem esse longitudinis cuius I et IV. Codicis M paginae litterarum sunt ad* 2100 ‖ 15 λυβιων *M* ‖ 16 ἐφέξοντα *Kroll*] ὑφέξοντα *M* ‖ 17 δὲ *Kroll*] τε *M* ‖ 20 στέλλει *M* ‖ 21 παραλιμπάνεσθαι *cum Scrimgero vulg.*] περιλιμπάνεσθαι *M* ‖ 22 ὑπ' αὐτοῦ *cum Scrimgero vulg.* ‖ κομενταρησίων *M* ‖ 24 σέχεσθαι *M, corr. Scrimger* ‖ 25 τῆς] τῆς τάξεως *M* ‖ 26 πειθομένοις *M* ‖ 28 εἰσπράττειν *M, corr. Zachariae*

ἐπί τε τοῖς ἄλλοις ἅπασιν, ἅπερ ἀνάγκη πράττειν τὸν πληροῦντα τὴν τῆς ἀρχῆς χρείαν· ἐπιδοθήσονται δὲ αὐτῷ λόγῳ παραμυθίας χρυσοῖ ἑκατόν. ταύτῃ μὲν ἡμῖν πέρας ἐχέτω καὶ τὰ περὶ τῆς Λιβυκῆς διοικήσεως διαταχθέντα.

CAPUT XXIII.

*Ἀκόλουθον τοίνυν ἐστὶν ἐντεῦθεν διαβῆναι ἡμᾶς ἐπὶ τὸ Θηβαϊκὸν λιμιτόν, τουτέστι δύο Θηβαΐδας, αἵσπερ ἐπέστη μὲν ὁ περίβλεπτος δοὺξ ὁ ταύτην παραλαμβάνων παρ' ἡμῶν τὴν διοίκησιν· ὑπακούσονται δὲ τούτου καὶ οἱ τούτων τῶν ἐπαρχιῶν ἐπιχώριοι ἄρχοντες, καὶ ἔσται καὶ αὐτὸς ἐπὶ τῆς τοῦ αὐγουσταλίου τιμῆς, [εἰ] ὥσπερ ἂν εἰ καὶ αὐγουστάλιος ἦν, ὑποκεισόμενος ταῖς διατυπώσεσι τῆς σῆς ὑπεροχῆς καὶ τῷ δικαστηρίῳ τῆς Ἕω κατὰ πάντα, ὅπως καὶ νῦν ὁ περίβλεπτος αὐγουστάλιός ἐστι. δίδομεν γὰρ καὶ πᾶσαν δικαιοδοσίαν τε καὶ ἐξουσίαν, ἣν ὁ περίβλεπτος αὐγουστάλιος ἔχει *** τοι ταῖς ἄνωθεν ἀφωρισμέναις αὐτῷ, τουτέστι Θηβαΐσι δύο.*

CAPUT XXIV.

Ἔσται δὲ αὐτῷ φροντίς τε καὶ κίνδυνος, ὥστε πρότερον μὲν παντοίως εἰσπράττειν τὸν σῖτον τῆς αἰσίας ἐμβολῆς καὶ ἐκπέμπειν καὶ παραδιδόναι τῷ περιβλέπτῳ αὐγουσταλίῳ τῆς Ἀλεξανδρέων, καὶ παρασκευάζειν ἀνελλιπῶς κατὰ τὰς εἰρημένας προθεσμίας καὶ αὐτῷ τῷ ἔργῳ ⟨ἐκπέμπεσθαι⟩ οἰκείῳ κινδύνῳ ἅπαντα τὸν σῖτον ⟨τὸν⟩ ἐπιβάλλοντα ταῖς αὐτοῦ ἐπαρχίαις τε καὶ πόλεσι καὶ τόποις καὶ ἀνήκοντα τῇ τε ἐμβολῇ τῆς εὐδαίμονος ταύτης πόλεως καὶ τῷ παρ' ἡμῶν φιλοτιμουμένῳ τροφίμῳ τῆς Ἀλεξανδρέων, οὐδεμιᾶς ἀναβολῆς περὶ τούτων γινομένης, οἷα καὶ παντὸς ⟨κινδύνου αὐτὸν ὁρῶντος⟩ καὶ τὴν πειθομένην αὐτῷ τάξιν· κινδυνευόντων καὶ τῶν στρατιωτῶν τῶν ἐπὶ τοῖς τόποις ὄντων καὶ τῶν τριβούνων καὶ πάσης πολιτικῆς καὶ δημοσίας βοηθείας, εἰ μὴ πρὸς ταῦτα ἀμύνοιεν. δέον τὸ μὲν τῆς ἐνταῦθα ἐκπεμπομένης αἰσίας ἐμβολῆς μέτρον ἐμβληθῆναι μὲν παρ' αὐτοῦ ταῖς ποταμίαις ναυσὶν αὐτῷ τῷ ἔργῳ μέχρι τῆς ἐνάτης τοῦ αὐγούστου μηνὸς καὶ τὴν ἐπ' αὐτῷ πληναρίαν παρ' αὐτοῦ πραχθῆναι, [καὶ] κατακομισθῆναι δὲ αὐτὸν τὸν σῖτον εἰς τὴν Ἀλεξανδρέων μέχρι τῆς δεκάτης τοῦ σεπτεμβρίου μηνός, καὶ παραδίδοσθαι τῷ περιβλέπτῳ αὐγουσταλίῳ ⟨ἢ⟩ τοῖς παρ' αὐτοῦ εἰς τοῦτο προβαλλομένοις· τοῦ δὲ παρ' ἡμῶν φιλοτιμουμένου τῇ μεγάλῃ τῶν Ἀλεξανδρέων πόλει τροφίμου μέχρι τῆς πεντεκαιδεκάτης τοῦ ὀκτωβρίου μηνός. ἐκεῖνο γὰρ τῶν ἀνωμολογημένων ἐστίν, ὡς εἰ μὴ κατὰ τὰς εἰρημένας προθεσμίας πᾶς ὁ σῖτος, τῆς τε αἰσίας ἐμβολῆς τῆς [τε] ἐνταῦθα στελλομένης τοῦ τε τροφίμου τῆς Ἀλεξανδρέων, ἐκπεμφθείη κατὰ τὴν Ἀλεξανδρέων καὶ ἅπας παραδοθῇ τῷ περιβλέπτῳ αὐγουσταλίῳ, καὶ οὐ πᾶν αὐτὸς προσστήσοιτο παντὸς κατὰ τριῶν ἀρτάβων ⟨ὑπὲρ⟩ ἑκάστου νομίσματος τοῦ σίτου τὸ ἐλλεῖπον καὶ μὴ παραδοθὲν μέτρον. ὁ δὲ κίνδυνος οὗτος οὐ μέχρι τῆς αὐτοῦ στήσεται ζωῆς οὐδὲ μέχρι τῆς ἀρχῆς, ἀλλὰ καὶ ἰδιώτης γενόμενος καὶ τελευτήσας μακροτέραν τῆς αὐτοῦ τελευτῆς ἕξει τὴν ἀπαίτησιν· κληρονόμοι τε γὰρ αὐτοῦ καὶ τὰ αὐτοῦ πράγματα ταῖς τοιαύταις ἐνέξονται δυσκολίαις, τῆς ἐκείνου ῥαθυμίας διηνεκῆ διδούσης κατ' αὐτῶν κίνδυνόν τε καὶ φροντίδα καὶ εἴσπραξιν, ἕως ἡ τοῦ παντὸς χρέους κατὰ τὸν εἰρημένον τρόπον γένηται διάλυσις. καὶ οὐδὲ καινίζομέν τι τῶν μὴ μέχρι νῦν γενομένων ἐπιζητοῦντες. ἴσμεν γάρ, ὡς καὶ Ἰωάννης ὁ ἐνδοξότατος Κομήτου ⟨τοῦ⟩ τῆς μεγαλοπρεποῦς

---

facere necesse habet qui iudicis vice fungitur: dabuntur autem ei solatii loco aurei centum. Et hic nobis finis sit eorum quae de Libyca dioecesi constituta sunt.

XXIII. *Consequens igitur est ut hinc transeamus ad Thebaicum limitem, id est duas Thebaidas, quibus praeest spectabilis dux qui a nobis hanc administrationem accipit. Oboedient autem ei etiam provinciales harum eparchiarum iudices, et erit ipse quoque in honore Augustalis, tamquam si ipse Augustalis esset, subiectus praeceptis sublimitatis tuae et tribunali Orientis in omnibus, sicut etiam nunc spectabilis Augustalis est. Damus enim omnem iurisdictionem et potestatem, quam spectabilis Augustalis habet .... dudum ei attributis, id est duabus Thebaidibus.*

XXIV. *Erit autem ei cura et periculum, ut primum quidem omnino exigat frumentum felicis embolae, mittatque et tradat spectabili Augustali urbis Alexandrinorum, et efficiat ut integrum temporibus quae diximus et ipsa re transmittatur proprio periculo omne frumentum, quod eius provinciis et urbibus et locis impositum est et pertinet ad embolam felicis huius urbis et alimoniam urbis Alexandrinorum a nobis donatam, nulla in his mora interposita, quoniam omne periculum ad eum spectat et ad obtemperans ei officium; periculum sustinentibus etiam militibus in locis constitutis et tribunis et omni civili et publico adiutorio, nisi in his opem ferant. Necesse autem erit felicis embolae mensuram quae huc emittitur imponi ab eo navibus fluvialibus re ipsa usque ad diem nonum mensis Augusti et plenariam de hoc ab eo fieri, transportari autem ipsum frumentum ad urbem Alexandrinorum usque ad diem decimum mensis Septembris et tradi spectabili Augustali aut eis qui ab eo ad hoc deputantur; quam autem largimur magnae Alexandrinorum urbi alimoniam usque ad diem quintum decimum mensis Octobris. Illud enim in confesso est, nisi dictis diebus omne frumentum, tam felicis embolae quae huc mittitur quam alimoniae urbis Alexandrinorum, missum sit ad urbem Alexandrinorum totumque spectabili Augustali traditum, ipseque totam rem curaverit, omnino exactum iri ab ipso frumenti mensuram deficientem et non traditam ternis artabis pro unoquoque aureo computandis. Quod periculum non ad vitam eius neque ad magistratum solum pertinebit, sed etiam privatus factus et defunctus ulteriorem morte sua exactionem habebit; heredes enim eius et bona eius hisce molestiis tenebuntur, illius neglegentia perpetuum eis periculum et curam et exactionem facessente, donec totius debiti talem in modum solutio facta sit. Nec quicquam novamus requirentes quod hactenus non extiterit. Scimus enim Iohannem gloriosissimum Cometae*

---

2 *ταύτῃ Agylaeus] ταῦτα M* ‖ *Λιβυκῆς Kroll] λιβύησ M, Λιβύων Zachariae* ‖ 5 *ἐπακούσονται M, corr. Zachariae* ‖ 6 *τούτῳ Zachariae, at cf.* 495, 5 ‖ 7 *εἰ del. Scrimger* ‖ *εἰ Zachariae] εἴη M* ‖ 9 *post ἔχει lacuna* 8 *fere litt. in M; excidit fere ⟨καὶ τούτῳ ἐπὶ ταῖς ἐπαρχίαις⟩ ταῖς* ‖ 11 *ἔσται Zachariae] ἔστι M* ‖ *καὶ κίνδυνος] ἀκίνδυνοσ M*[a] ‖ 13 *ἐκπέμπεσθαι suppl. Zachariae* ‖ 14 *τὸν add. Zachariae* ‖ 15 *οὐδεμιᾶς Scrimger] δὲ μιᾶσ M* ‖ 16 *malim περὶ τοῦτο* ‖ *suppl. Zachariae (qui ἀφορῶντος)* ‖ 10 *ἐννάτησ M* ‖ 20 *ὑπ' αὐτῷ cum Scrimgero vulg.* ‖ *καὶ del. Kroll* ‖ 21 *παραδιδόναι M, corr. Zachariae* ‖ 22 *ἢ add. Scrimger* ‖ 23 *ὀκτωμβρίου M* ‖ 24 *ὡς] εἰσ M*[a] ‖ *τε del. Zachariae* ‖ 25 *στελλομένοισ M* ‖ 26 *verba corrupta sic fere emendanda puto: καὶ ὃν ἂν οὗτος προβάλοιτο, ἀποτίσει πάντως κατὰ. Zachariae ita: καὶ οὐκ ἂν αὐτὸς προστήσοιτο παντός, ⟨ἀπαιτηθήσεται⟩ κατὰ.* ‖ 26 *ὑπὲρ add. Zachariae* ‖ 28 *ἰδιώτησι M* ‖ 31 *τὸ — γενόμενον Zachariae* ‖ 32 *Κομήτου Zachariae] κόμησ τοῦ M* ‖ *τοῦ addidi*

μνήμης παῖς πρὸ τῆς συμπληρώσεως τοῦ αὐγούστου μηνὸς τῆς ἄρτι παρελθούσης πρώτης ἐπινεμήσεως τὸν πάντα σῖτον εἰσήνεγκεν εἰς τὴν Ἀλεξανδρέων καὶ τὸ τηνικαῦτα τῷ τὴν αὐγουσταλίαν ἔχοντι παρέδωκεν ἀρχήν. ταὐτὸ δὲ τοῦτο ἔπραξε καὶ ὁ νῦν τῆς αὐτῆς ἀρχῆς ἀντεχόμενος, τουτέστιν Ὠρίων ὁ ἐνδοξότατος· ἅστινας πληναρίας, τήν τε ἐπὶ Ἰωάννου τήν τε ἐπὶ Ὠρίωνος γενομένην, ἐκπεμφθείσας ἡ σὴ ὑπεροχὴ καὶ ἡμεῖς ἐπείδομεν. ῥαθυμίας οὖν ἔσται μόνης ⟨καὶ⟩ προδοσίας τὸ μὴ καὶ τοσούτοις γενομένοις ἀκολουθῆσαι, ὥστε καὶ μείζονα καὶ ἰσχυρότερον αὐτὸν ἐποιήσαμεν καὶ τὴν τοῦ αὐγουσταλίου δεδώκαμεν αὐτῷ τάξιν τε καὶ δικαιοδοσίαν· οὐ γὰρ ἂν εἴη φορητὸν τὸ μείζονος μὲν ἐξουσίας δράξασθαι, ἐλάττονα δὲ καὶ τῶν πρὸ αὐτοῦ καταστῆναι καὶ ὑποθεῖναι τήν τε ὅλην πολιτείαν κινδύνῳ ἑαυτόν τε ὀλέθρῳ διηνεκεῖ, καὶ τῆς ἀρχῆς ἐκπίπτοντα καὶ ἐναγόμενον καὶ ⟨ἐν⟩ ἰδιώτῃ βίῳ καὶ μετὰ τὴν τελευτὴν διὰ τῶν αὐτοῦ κληρονόμων καὶ ⟨πραγμάτων⟩ τὸ χρέος ἐκλύοντα, ἕως κατὰ τριῶν ἀρτάβων ⟨τοῦ⟩ σίτου ἅπαν τὸ μέτρον τὸ μὴ ἐκκομισθὲν ἀποσωθείη τῷ δημοσίῳ διὰ τοῦ θρόνου τῆς σῆς ὑπεροχῆς εἰσπραξαμένου.

CAPUT XXV.

Ἄρξει δὲ καὶ στρατιωτῶν καὶ ἰδιωτῶν, τῶν μὲν κατὰ τὸ τῆς στρατιωτικῆς ἀρχῆς δίκαιον, τῶν δὲ κατὰ τὴν τοῦ αὐγουσταλίου δικαιοδοσίαν, δηλαδὴ ὑποκειμένων αὐτῷ (καθάπερ εἰπόντες ἔφθημεν) τῶν ἐπιχωρίων ἀρχόντων, οἷς τῶν εἰρημένων ἐπαρχιῶν μέλει, καὶ τῶν πειθομένων αὐτοῖς τάξεων καὶ πάσης πολιτικῆς καὶ δημοσίας βοηθείας, καὶ παγάρχων καὶ πολιτευομένων καὶ ἁπλῶς ἁπάντων ⟨τῶν⟩ κατὰ τὰς ἐπαρχίας ἐκείνας ἢ ὄντων ἢ οἰκούντων ἢ παγαρχούντων ἢ δημόσια καθ' οἱονοῦν τρόπον χειριζόντων. οὓς ἕξει παῤῥησίαν καὶ ἄγειν πρὸς ἑαυτὸν καὶ εἰ ἑτέρας ἐπαρχίας οἰκοῦσι ⟨μὴ⟩ ὑποκειμένας αὐτῷ, ἐπὶ μόναις μέντοι ταῖς δημοσίαις εἰσπράξεσιν· ὅπερ ποιήσει κἂν εἰ ἐν τοῖς αὐτοῦ τόποις ὄντες εἶτα ἀποφύγοιεν. οὕτω γὰρ ἔσται πανταχόθεν ἡ τῶν δημοσίων εἴσπραξις ἀπροφάσιστος. εἰ δέ τινας τῶν παγάρχων, ὑπὲρ ὧν καὶ κινδυνεύει, ἀγνώμονας περὶ τὴν αἰσίαν σιτοπομπίαν ἢ περὶ τὰ τοῖς ναύλοις καὶ ταῖς κατὰ χώραν δαπάναις ἐπιδιδόμενα εὕροι, τούτους οὐκ ἀποκινήσει μέν, ὑπὸ ἀσφάλειαν δὲ καταστήσει καὶ ἑτέρους ἀναζητήσει πρὸς τὸ πρᾶγμα ἐπιτηδείους καὶ μηνύσει ταῦτα τῷ θρόνῳ τῆς σῆς ὑπεροχῆς, ὥστε παρὰ σοῦ καὶ τῶν ἀεί σοι [καὶ] τὴν αὐτὴν ἐχόντων ἀρχὴν εἰς τὴν βασιλείαν τὸ πρᾶγμα φερόμενον δέξασθαι τὴν ἐκεῖθεν διοίκησιν, τῶν μὲν ἐπ' ἀγνωμοσύνῃ κατεγνωσμένων εἰ συνίδοιμεν ἀπελαυνομένων, τῶν δὲ ἐπιλεγέντων ἐν τῇ χώρᾳ τούτων, εἴ γε ἡμεῖς ἐπιτηδείους εἶναι κρίναιμεν, ἀντικαθισταμένων καὶ εἰς τὰς ἐκείνων παγαρχίας τε καὶ οὐσίας ἐμβαινόντων, θείας τε ἡμῶν ⟨κελεύσεως⟩ καὶ εὐσεβοῦς προστάξεως τοῦ θρόνου τοῦ σοῦ περὶ τούτου γινομένης.

CAPUT XXVI.

Βουλόμεθα τοίνυν κατὰ πρώτην τάξιν αὐτὸν προνοεῖν τῆς αἰσίας ἐμβολῆς καὶ τοῦ τροφίμου τῆς Ἀλεξανδρέων, ὥστε ἐκπέμπειν αὐτὸν οἰκείῳ κινδύνῳ καὶ τῶν ἐπιχωρίων ἀρχόντων καὶ τῶν πειθομένων αὐτοῖς

---

